Petit 80/2
371

# ΑΚΟΛΟΥΘΙΑ

ΤΗΣ

Ἁγίας Ἐνδόξου Μεγαλομάρτυρος καὶ Πανευφήμου

# ΕΥΦΗΜΙΑΣ

σὺν τῇ τῆς ὁσίας ΘΕΟΦΑΝΟΥΣ τῆς Βασιλίδος.

*Συντεθεῖσαι ἀμφότεραι ὑπό τινος εὐσεβοῦς ἐξεδόθησαν μὲν τὸ πρῶτον τῷ 1808 ἔτει, ἀδείᾳ τοῦ τότε πατριαρχεύοντος ἀοιδίμου Κυρίου ΓΡΗΓΟΡΙΟΥ,*

Νῦν δὲ τὸ Δεύτερον ἐπιμελῶς διορθωθεῖσαι, καὶ προλεγομένοις ἐπαυξηθεῖσαι, ἐκδίδονται

ΑΔΕΙΑ ΤΟΥ ΠΑΝΑΓΙΩΤΑΤΟΥ ΗΜΩΝ ΔΕΣΠΟΤΟΥ
ΤΟΥ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ

## ΚΥΡΙΛΛΟΥ

ΜΕΤΑ ΤΗΣ ΠΕΡΙ ΑΥΤΟΝ ΑΓΙΑΣ ΚΑΙ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ,

ὑπὸ

Δανιὴλ Ἱεροδιακόνου τοῦ ἐκ Μετζόβου Πορτάρη
ΤΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ Μ. ΕΚΚΛΗΣΙΑΣ

πρὸς χρῆσιν τῶν Εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν

ΣΦΡΑΓΙΣ ΠΑΤΡΙΑΡΧΙΚΗ
Κ Λ
Π Κ
1855

*ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ*
ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ.

1857.

19ος
1907 / 1857 / 50
1947
1907 / 1857 / 50
50 / 1907

«Ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων. Ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν, οὕτως ἡ πλησίον μου ἀνὰ μέσον τῶν θυγατέρων. Ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ, οὕτως ἀδελφιδός μου ἀνὰ μέσον τῶν υἱῶν. Ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα, καὶ ἐκάθισα, καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν λάρυγγί μου. Εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου, τάξατε ἐπ' ἐμὲ ἀγάπην. Στηρίσατέ με ἐν μύροις, στοιβάσατέ με ἐν μήλοις, ὅτι τετρωμένη ἀγάπης ἐγώ. Εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου, καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με.»

Ἀσμ. Ἀσμάτ. Β'. 1—6

# ΠΡΟΛΕΓΟΜΕΝΑ

Εὐφημία ἡ πανεύφημος καὶ καλλίνικος μάρτυς καὶ καλλιπάρθενος τοῦ Χριστοῦ νύμφη προσήνεγκεν ἑαυτὴν τῷ Θεῷ θυσίαν ζῶσαν καὶ εὐωδίας πλήρη, γενναίως ὑπὲρ τῆς ἀληθείας μαρτυρήσασα κατὰ τὸν ἔσχατον καὶ πάντων χαλεπώτατον καὶ ἀπανθρωπότατον κατὰ τοῦ Χριστιανικοῦ ὀνόματος διωγμὸν τῶν ἀσεβῶν καὶ ὠμοτάτων Αὐτοκρατόρων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ (α). Οὕτω δὲ καλῶς τὸν ἐργώδη τελέσασα δρόμον, τὴν ἀήττητον τῆς πίστεως καὶ τῆς ἐλπίδος ἀντιταξαμένη ῥώμην ταῖς πολυμηχάνοις τοῦ ἄρχοντος τοῦ σκότους τοῦ αἰῶνος τούτου βασάνοις, ἀπηνέγκατο ἀχειρόπλοκον τὸν ἀποκείμενον τῆς δικαιοσύνης στέφανον καὶ χαίρει ἀφάτως ἐν οὐρανοῖς ἐν τῇ ἐκκλησίᾳ τῶν πρωτοτόκων, συγχορεύουσα τῷ ἀπείρῳ πλήθει τῶν ἀγλαῶν μαρτύρων καὶ ὅλον δόξης ἀπαστράπτοντα ὁρῶσα τὸν νυμφίον, ὃν ἀνεπαι-

(α). Πολλαὶ καὶ πολλῷ ἀπ' ἀλλήλων διεστηκυῖαί εἰσιν αἱ περὶ τοῦ χρόνου τοῦ μαρτυρίου γνῶμαι τῶν μαρτυρολόγων· οἱ μὲν γὰρ τιθέασι τὸ 288 Μ. Χ. ἔτος· (βλ. Συναξαρ. Νικοδ. Σεπτεμβρ. ις'. καὶ Ἰουλ. ια'.) οἱ δέ, τὸ 303, καὶ ἄλλοι, τὸ 307. (βλ. ὡρολογ. ὑπὸ Βαρθολομ.). Μελέτιος δὲ ὁ Ἀθηνῶν (Ἐκκλ. Ἱστορ. Τόμ. Α'. σελ. 298, ἐκδ. Β'. ἐν Κωνσταντ. 1853) ἀναχρονιστικῶς παραδέχεται, ὡς ἔοικε, κοσμηθῆναι τὴν ἁγίαν τῷ μαρτυρικῷ στεφάνῳ ἢ Γορδιανοῦ βασιλεύοντος, ἢ Φιλίππου τοῦ Ἄραβος. Καστῖνον γὰρ Βυζαντίου τηνικαῦτα ἐπίσκοπον ὄντα (ἀπὸ τοῦ 241—218) ναόν φησιν ἐν Πετρίῳ ἀνεγεῖραι ἐπ' ὀνόματι τῆς ἁγίας Εὐφημίας, τότε μαρτυρησάσης ἐν Χαλκηδόνι. Κἀντεῦθεν ἐοίκασί πως διαμάχεσθαι οἱ ἐπὶ Διοκλητιανοῦ μὲν (ἀπὸ τοῦ 283—305 βασιλεύσαντος) τὴν ἁγίαν λέγοντες μαρτυρῆσαι· τὸν Καστῖνον δὲ ναὸν αὐτῇ ἐν Βυζαντίῳ οἰκοδομήσασθαι (βλ. ὑπομν. Μην. ια'. Ἰουλ.). Μήποτε ἄρα προῳκοδόμητο μὲν ἐν Βυζαντίῳ ὑπὸ Καστίνου ναός τις ἄλλως ἐπωνυμούμενος, ὑστέρῳ δὲ χρόνῳ μετὰ τὸν δι' ἀθλήσεως θάνατον τῆς ἁγίας Εὐφημίας, ἢ αὐτὸν τὸν ναὸν εἰς μνήμην αὐτῆς μετετίμησαν, ἢ παρεκκλήσιόν τι ἐκ' ὀνόματι ταύτης προσήρτησαν, κἀντεῦθεν ἴσως ἡ δοκοῦσα ἀντίφασις;

ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

σχύντως γεγωνυίᾳ τῇ φωνῇ ἐσταυρωμένον ἐναντίον τυράννων καὶ βασιλέων ἀπηνῶν ὡμολόγησεν.

Τὴν μὲν οὖν ὄντως χριστιανικὴν κατὰ τὸν βίον αὐτῆς πολιτείαν καὶ τὰ καθ' ἕκαστα τῶν ἐν τῷ μαρτυρίῳ πολυειδῶν κολαστηρίων, τήν τε πρὸς αὐτὰ θαυμαστὴν ὅσην διὰ Χριστὸν καρτερίαν καὶ τὰ τεράστια τῶν ἔργων, ὅσα ἐπὶ γῆς ἐκτελεῖν ἔλαχε παρὰ Θεοῦ δυνάμει τῶν τοῦ Πνεύματος χαρισμάτων, ταῦτα δὴ περιέχουσι διὰ μακρῶν ἐκτεθειμένα τὰ ἐκκλησιαστικὰ ὑπομνήματα καὶ μαρτυρολόγια (α). Ἡ δὲ στρατευομένη ὀρθόδοξος τοῦ Χριστοῦ ἐκκλησία, ἐν ταῖς μνήμαις τῶν ἁγίων καὶ τῶν μαρτύρων εἰδυῖα τὸν Θεὸν ἐνδοξαζόμενον, δὶς τοῦ ἐνιαυτοῦ τὴν μνήμην αὐτῆς ἀξιοχρέως τελεῖ, ἐν μὲν τῇ ιϛ'. Σεπτεμβρίου τοὺς ἀθλητικοὺς ἀγῶνας καὶ τὸ μακάριον αὐτῆς τέλος ἐξυμνοῦσα, ἐν δὲ τῇ ιά. Ἰουλίου τὸ γεγονὸς γεραίρουσα Θαῦμα, δι' οὗ τὴν ἀλήθειαν αὐτῆς ἐπεβεβαίωσε τοῦ ὅρου τῆς πίστεως, ἣν ἡ ἐν Χαλκηδόνι γενομένη Δ'. Οἰκουμενικὴ ἁγία Σύνοδος ἐξέθετο (β).

---

(α). Ὅρ. τὰ ὑπομνήμ. τῆς ιϛ'. Σεπτ. καὶ ιά. Ἰουλ. ἐν τοῖς Μηναίοις, Συναξάρ. ὑπὸ Νικοδ. ἐν πλάτει δ' Εὐφραὶμ τὸν Ἀπλοῦν, Συμ. Μεταφραστὴν τὸ μαρτύριον αὐτῆς συγγράψαντα. Ἐνεκωμίασαν δέ, ἧ φασι Νικόδημος (ἐν τῷ Συναξ.) την ἔνδοξον ταύτην μεγαλομάρτυρα Μακάριος Ἱερομόναχος ὁ Μακρὺς καὶ Κωνσταντῖνος ἐπίσκοπος Τίου, ὧν καὶ σώζονται τὰ ἐγκώμια ἐν τῷ ἁγίῳ ὄρει τοῦ Ἄθω· ἔκφρασιν δὲ τῆς εἰκόνος αὐτῆς συνέγραψεν Ἀστέριος ὁ Ἀμασείας, ἧς περικοπὴν βλ. παρὰ Νικοδήμῳ. αὐτόθι.

(β). Τοῦ ἐνδόξου τούτου καὶ τεραστίου ὄντως θαύματος μνεία γίγνεται ἐν ἁπάσαις ταῖς εἰς τὴν παρθενομάρτυρα ἐξυφασμέναις ὑμνολογίαις καὶ ᾠδαῖς, ὧν τινες ἅλις μετέχουσιν ἀρχαιότητος, καὶ παρὰ Ζωναρᾶ (ιγ'. 26.) καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὑπομνήμασι καὶ συναξαρίοις, ὅτι παρόντων ἔτι τῶν Πατέρων ἐν Χαλκηδόνι ἐγένετο. Ταῦτα δ' ἐπικυροῖ καὶ πιστοῦται ἐπιστολὴ τοῦ Θεοσυλλέκτου τῶν Πατέρων συλλόγου, ἣν πεπόμφασι Λέοντι τῷ Ῥώμης ἐπισκόπῳ, τὰ δόξαντα καὶ πεπραγμένα δηλώσοντες. Χωρίον γάρ τι τῆς ἐπιστολῆς οὑτωσὶν ἔχει. «Θεὸς ἦν ὁ ἐνεργῶν, καὶ » ἡ τὸν σύλλογον τῷ νυμφῶνι στεφανοῦσα καλλίνικος Εὐφημία· ἥ, ὥσπερ οἰκείαν ὁμο- » λογίαν τῆς πίστεως παρ' ἡμῶν δεξαμένη τὸν ὅρον, τῷ ἑαυτῆς νυμφίῳ



Οὐ πολὺ δ' ὕστερον ἀπὸ τοῦ μαρτυρίου αὐτῆς ἐπὶ Κωνσταντίνου μοναρχοῦντος τοῦ Μεγάλου, ὁπότε ἤρθη ἐκ μέσου πᾶσα κατὰ τῆς ἀληθείας ὑψουμένη δρακόντειος κεφαλὴ καὶ ἐπέλαμψε κἂν τοῖς βασιλείοις τὸ σωτήριον καὶ ἀληθινὸν τοῦ Χριστοῦ φῶς, ᾠκοδομήθη ἐν Χαλκηδόνι τῇ γενεθλίῳ γῇ ναὸς τῇ μάρτυρι περικαλλὴς καὶ λαμπρότατος, περιλαμβάνων καὶ εὐκτήριον οἶκον, ἐν ᾧ καὶ τὸ σεπτὸν αὐτῆς σκῆνος ἐναπετέθη, καὶ περίπυστος δὲ μετὰ ταῦτα ἐγένετο (α). Ἐν αὐτῷ γὰρ ἀθροισθεῖσα ἡ Δ'. Οἰκουμενικὴ σύνοδος τῷ **451** ἔτει καθεῖλέ τε καὶ τῷ αἰωνίῳ παρέδωκεν ἀναθέματι Εὐτυχέα τε καὶ Διόσκορον καὶ τοὺς ἀμφ' αὐτούς, συγχεῖν τολμῶντας ἀφρόνως τὰς ἀσυγχύτως ἡνωμένας ἐν Χριστῷ δύο φύσεις, θείαν τε καὶ ἀνθρωπίνην (β). Καὶ κατεστράφη μὲν ὁ ναὸς ἐκεῖνος χειρὶ βιαίᾳ, ἀφαιρεθεὶς καὶ τὴν πολύτιμον τεκτονικὴν ὕλην πρὸς οἰκοδομὴν τοῦ ἐν Κωνσταντινουπόλει πολυτελεστάτου Σουλεμανείου τεμένους (γ), ἀντ' αὐτοῦ δ' ἔπειτα ᾠκοδομήθη παρὰ τῶν εὐσεβῶν ἕτερος πάνυ μικρὸς καὶ εὐτελής, ὃς καὶ μέχρι τοῦδε σώζεται. Πλὴν δὲ τούτου καὶ ἐν Κωνσταντινουπόλει ὁ μέγας Κωνσταντῖνος πολυτελῆ ναὸν τῇ μάρτυρι ἐδείματο παρὰ τὸν Ἱππόδρομον καὶ τὰ Ἀντιόχου παλάτια (δ)· ὅθεν καὶ λέγεται ἐν τοῖς ὑπομνήμασι· "Τελεῖται δὲ ἡ σύναξις αὐτῆς ἐν τοῖς Ἀντιόχου, πλησίον τοῦ Λαύσου· ὃν ὀκτὼ ἐπὶ τετταράκοντα καὶ τετρακοσίοις ἔτεσιν ὕστερον, κατὰ τὸν ὄγδοον δηλονότι αἰῶνα, εἰς βουστάσιον

---

» διὰ τοῦ εὐσεβεστάτου Βασιλέως καὶ τῆς φιλοχρίστου Βασιλίδος προσήγαγε, πᾶσαν
» μὲν τῶν ἀντικειμένων ταραχὴν κατευνάσασα, τὴν δὲ τῆς ἀληθείας ὡς φί-
» λην ὁμολογίαν κρατύνασα, καὶ χειρὶ καὶ γλώσσῃ ταῖς πάντων ψήφοις ἐπι-
» ψηφίσασα πρὸς ἀπόδειξιν.» (Πρακτ. Τόμ. β'. σελ. 23). σαφέστερον δ' ὁ Ζωναρᾶς
τὸ γεγονὸς ἐκτίθησι (ἔνθ. ἀνωτ.). καὶ τὰ τῆς ἐκκλησίας ὑπομνήματα. — (α). Ὅρ.
περιγραφὴν αὐτοῦ παρ' Εὐαγρ. β'. 3. — (β). Ζωναρ. ιγ'. 24, 25. — (γ). Ὠκοδό-
μηται ἀπὸ τοῦ **1550—1556**. (βλ. Κωνσταντινιάδ. σελ. 134. ἔκδ. β'. ἐν Κων-
σταντ. 1844. καὶ Κωνσταντινούπολ. ὑπὸ Σκαρλ. Βυζαντίου Τόμ. Α'. σελ. 514.
Ἀθήνησι 1851). — (δ) Κωνστ. Σ. Β. σελ. 258.

καὶ κοπροθέσιον μετεποίησεν ὁ δυσσεβέστατος τῶν εἰκονομάχων βασιλέων καὶ λυσσώδης τῶν ἱερῶν ὑβριστὴς Κωνσταντῖνος ὁ Κοπρώνυμος· καὶ περιεκεκάθαρτο μὲν ὕστερον ὑπὸ τῆς εὐσεβοῦς Βασιλίδος Εἰρήνης τῆς Ἀθηναίας καὶ τοῦ υἱοῦ αὐτῆς Κωνσταντίνου, νῦν δ' οὔτ' αὐτὸς σώζεται, οὔτε μὴν ὁ τόπος, ἔνθα ἔκειτο, ἀκριβῶς διέγνωσται τοῖς τἀρχαῖα τῆς πόλεως ἐξακριβώσασθαι ἐπιβαλλομένοις.

Ἔτι δὲ καὶ ναΰδριον ἐπ' ὀνόματι αὐτῆς μνημονεύεται ἐν τῷ μεγίστῳ περιλαμβανόμενον ναῷ, ὃν ὁ μέγας Κωνσταντῖνος παρὰ τὰς κατὰ τὴν πύλην τῶν Αἰθιόπων (α) Ἀρκαδιανὰς καλουμένας Θέρμας δειμάμενος, τῷ ὀνόματι ἐσέμνυνε τῆς ὑπερτάτης τοῦ Θεοῦ Δυνάμεως· ἀλλ' οὐδ' ὁ ναὸς τανῦν περίεστι. Ἐτελεῖτο δ' ἐνταῦθα ἰδίᾳ μνήμη τῆς μάρτυρος τὴν ις'. Μαΐου, ὡς ἐκ τοῦ ὑπομνήματος δείκνυται, ἔχοντος ὡδί. „ Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τῆς ἁγίας μάρτυρος Εὐφημίας πλησίον τοῦ νεωρίου λιμένος, εἰς τὴν ἁγίαν Δύναμιν. „

Καὶ ἕτερος δὲ λαμπρὸς ἐν Βυζαντίῳ ναὸς λέγεται τῇ μάρτυρι ἀνεγερθῆναι ὑπὸ Καστίνου Βυζαντίου ἐπισκοπήσαντος (ἀπὸ τοῦ 241---8). Τοῦτο δ' οὐ σμικρὰν ἐπιφέρει σύγχυσιν, καθάπερ ἐν ὑποσημειώσει ἔφθημεν εἰπόντες, τῷ χρόνῳ τοῦ μαρτυρικοῦ τῆς ἁγίας θανάτου· ἔκειτο οὖν ἔσω τῆς Πετρίου πύλης (β), καὶ διεστέλλετο τοῦ ἑτέρου τῆς Πέτρας ἐπωνυμουμένου. Ἀλλ' οὐδὲν πλέον ἡμεῖς γε περὶ αὐτοῦ γιγνώσκομεν, ἢ ὅτι Ἀναστασίου μὲν τοῦ Δικόρου βασιλεύοντος (491---518) ἐκ βάθρων ἀνῳκοδόμητο, Βασιλείου δὲ τοῦ Μακεδόνος (867---88), ἀνεκεκαίνιστο· ὃν δή φασι καὶ τὰς θυγατέρας μονάζειν ἐν αὐτῷ ἀναγκάσαι. Διὸ εἰκότως ἄν τις τεκμήραιτο γυναικῶν ὑπάρξαι μοναστήριον. (γ) Τοσαῦτα μὲν οὖν

— (α). Σήμ. Ἀραπ ἢ Καρὰ καπύ. (αὐτόθ. σελ. 175—7). (β). Σήμ. Πετρὶ καπύ, κατὰ τὸ Φανάριον (αὐτόθ. σελ. 563.) — (γ) Αὐτόθ. σελ. 567. καὶ Κωνσταντ. σελ. 44. Ἴσως αὐτὸς οὗτός ἐστιν ὁ τὸ νῦν ἔχων Πατριαρχικὸς τοῦ Μεγαλομάρτυρος Γεωργίου ναός. γυναικῶν γὰρ ἦν οὗτος μοναστήριον πρὶν ἐν αὐτῷ μετατεθῆναι τὸ Πατριαρχεῖον.



εἰρήσθω περὶ ναῶν, οὓς οἱ εὐσεβεῖς ὑπ' ἄκρας καὶ ἰδίας τινὸς κινούμενοι εὐλαβείας ἀνήγειραν τῇδε τῇ γενναίᾳ καὶ θαυματουργῷ μάρτυρι. ἐπεὶ δὲ τὸ ἱερὸν αὐτῆς λείψανον καὶ καθ' ἡμᾶς σῶον διατηρεῖται ἐν τῷ πατριαρχικῷ τῆς Κωνσταντινουπόλεως ναῷ, οὐκ ἄκαιρον εἶναι νομίζομεν ἐπεξελθεῖν συντόμως, ἄνωθεν ἀναλαβόντες τὴν διήγησιν, ὅπως τοσούτους διελθὸν αἰῶνας ἐς δεῦρο διασέσωσται.

Πρῶτον τοίνυν ἐναπετέθη ἐπὶ λάρνακος ἐν τῷ εἰρημένῳ εὐκτηρίῳ οἴκῳ τοῦ ἐν Χαλκηδόνι μεγίστου ναοῦ, (α) καὶ αὐτοῦ ἐν πάσῃ τιμῇ ἐφυλάττετο μέχρι τῆς Δ'. Οἰκουμενικῆς συνόδου (β) καὶ ἐπ' ἀόριστον μετὰ ταῦτα χρόνον· εἶτα ἐν ἀδήλῳ γε δὴ χρόνῳ μετενεχθὲν εἰς Βυζάντιον, ἀπετέθη ἐν τῷ εἰρημένῳ κατὰ τὸν Ἱππόδρομον τῆς μάρτυρος ναῷ. Ὅτε δὲ Κωνσταντῖνος ὁ Κοπρώνυμος θηρίου ἐμμανέστερον κατὰ τῶν ἱερῶν λυττήσας εἰκόνων, οὐδὲ τῶν σεπτῶν ἐφείδετο λειψάνων, διττοί, κατὰ Ζωναρᾶν, περὶ τοῦ τῆς μάρτυρος τῆσδε φέρονται λόγοι. „ Ὁ μὲν γάρ, φησι, πυρίκαυστον αὐτὸ λέγει δόξαι ποιήσασθαι τὸν μιαρὸν ἐκεῖνον Κοπρώνυμον, κύνας καὶ ὄνους αὐτῷ συνεμπρήσαντα καὶ τὴν τέφραν λικμήσαντα, μὴ μέντοι αὐτῷ εἰς ἔργον ἐκβῆναι τὸ βούλημα· φθῆναι γὰρ τοὺς ὀρθοδόξους μαθόντας τὸ βουλευόμενον ἀφελέσθαι λαθραίως τὸ τῆς μάρτυρος σῶμα ἐκ τῆς σοροῦ καὶ μεταθεῖναι αὐτό, ἕτερον δὲ νεκρὸν ἐνθεῖναι αὐτῇ, κἀκεῖνον παρὰ τοῦ ἀλιτηρίου τούτου παραδοθῆναι πυρί· ὁ δ' ἕτερος οὐ καυθῆναι, καταποντωθῆναι δὲ τὸ σώ-

— (α) Πρὸ τοῦ ἀνεγερθῆναι τόνδε τὸν ναόν, οὔπω ἐντέθειτο λάρνακι, ᾗ περ
δοκεῖ, τὸ ἱερὸν τῆς πολυάθλου σῶμα. Συμεὼν γὰρ ὁ Μεταφραστής φησιν ἐν ᾧ αὐ
τῆς συνεγράψατο Μαρτυρίῳ τάδε. « Ὅθεν καὶ οἱ τῆς γενναίας ταύτης γεννήτορες, οἷα
» καιροῦ καὶ ἀδείας ἐπειλημμένοι, οὔ τι κλαίοντες, ἀλλὰ χαίροντες, τὸ μαρτυρικὸν ἐ-
» κεῖνο καὶ πολύτιμον σῶμα χερσὶν οὐκ ἄλλων, ἀλλὰ ταῖς οἰκείαις πιστεύσαντες ἐν
» τόπῳ τινί, οὐ μακρὰν ὄντι τῆς πόλεως Χαλκηδόνος, ἐντίμως καὶ εὐλαβῶς ἅμα
» κατατίθενται, καλὰ τροφεῖα ταύτης ἀπολαβόντες τὸ παιδὸς τοιαύτης ἀκοῦσαι πα-
» τέρες, καὶ δοῦναι τῷ Θεῷ καρπὸν εὐλογίας καὶ πάσης προσφορᾶς ἱερώτερον. » (ἐκ
χειρογράφου κώδικος). — (β). Ἐνταῦθα γοῦν περὶ τὴν ἁγίαν τῆς μάρτυρος λάρνακα,

μα λέγει τῆς μάρτυρος σὺν τῇ λάρνακι. Τὴν δὲ χάριτι θείᾳ κυβερνωμένην προσοκεῖλαι τῇ νήσῳ Λήμνῳ, καὶ ὑπὸ τῶν ἐν τῇ νήσῳ πιστῶν γνωσθεῖσαν κατατεθῆναι ἐκεῖ· ἐπὶ δὲ Εἰρήνης καὶ τοῦ υἱοῦ αὐτῆς Κωνσταντίνου αὖθις ἀνακομισθῆναι εἰς τὴν ὑπερκειμένην τῶν πόλεων ἐντίμως καὶ μεγαλοπρεπῶς.,, (α) Γεώργιος δ' ὁ Ἁμαρτωλὸς τὸ δεύτερον συμβῆναι μαρτυρῶν, οὐ τῇ Λήμνῳ, ἀλλὰ τῇ Λέσβῳ φησὶ προσορμισθῆναι τὴν λάρνακα· (β) κἀκ τούτου συγχεῖται μέν πως τὸ πρᾶγμα, τὸ ῥιφῆναι δ' εἰς τὴν θάλασσαν ἀληθέστερον εἶναι δοκεῖ Δοσιθέῳ (γ). Ὅπη ποτ' οὖν γέγονε, δῆλον μέντοι ἐστίν, ὡς εἰρήνης τῇ ἐκκλησίᾳ γενομένης ἀπὸ τοῦ σάλου τῆς ὀλεθρίου εἰκονομαχίας ἐπ' Εἰρήνης καὶ Κωνσταντίνου βασιλευόντων, ὅ,τε βεβηλωθείς, ὡς εἴρηται, ναὸς τῆς μάρτυρος καθαγνισθεὶς αὖθις εἰς λατρείαν τῷ Θεῷ καθιερώθη, καὶ τὸ σεπτὸν αὐτῆς σκῆνος, εἴτ' ἐκ Λέσβου εἴτ' ἐκ Λήμνου ἀνακομισθέν, πρεπόντως ἐναπετέθη ἐν αὐτῷ τὸ **783** (δ), καὶ οὕτω δὴ πάλιν ἐν ἐκείνῳ διέμεινε τῷ ναῷ τηρούμενον ἕως τοῦ **1204** σωτηρίου ἔτους. Ἁλούσης γὰρ τότε (ε) ὑπὸ Λατίνων τῆς πόλεως καὶ πλεῖσθ' ὅσα βαρβαρικῆς ὠμότητος καὶ ἀπανθρωπίας δεινὰ παθούσης, καὶ ταῦτα ὑπ' ἀνθρώπων Χριστῷ ὑπισχνουμένων ἀκολουθεῖν τῷ φιλανθρωποτάτῳ, τῶν εὐσεβῶν τινες κρύφα διέσωσαν εἰς Σηλυβρίαν ἀπαγαγόντες.

Μετὰ δὲ τὴν ὑπὸ τῶν Ὀθωμανῶν τῆς πόλεως ἅλωσιν (ϛ) ὁ ἐν μακαρίοις Γεννάδιος ὁ Σχολάριος, ὁ πρῶτος ἀπὸ τῆς δουλείας γενόμενος πατριάρχης Κωνσταντινουπόλεως, μετενεγκάμενος ἐκεῖθεν αὐτὸ ἐναπεθησαύρισε μετὰ τῶν τῆς ὁσίας βασιλίδος Θεοφα-

συνελθόντες εἴκοσι τῆς συνόδου λογάδες καὶ συνδιασκεψάμενοι, τὸν σεπτὸν τῆς πίστεως ὅρον ἐξέθεντο (βλ. Συλλογ. Πρακτ. Τόμ. β'. σελ. 154). — (α). ιέ. 8. — (β). βλ. σχόλ. εἰς Ζωναρ. ὅπου ἀναφέρεται τὸ περὶ τούτου χωρίον ἐκ τῶν ἀνεκδότων αὐτοῦ χρονικῶν. — (γ). ἐν τῇ δωδεκαβιβλ. ϛ'. 19. Τῆς δὲ θαυμασίας ἀπὸ τῆς θαλάσσης διασώσεως μνείαν ποιεῖται καὶ ὁ τοῦ τέως ἀνεκδότου κανόνος ποιητὴς Ἀνδρέας. (ὅρ. ὄπισθ. Ὠδ. ϛ'. Τροπ. ϛ'.) — (δ). Μετὰ κβ'. ἔτη (κατὰ Κωδινὸν λζ'.). — (ε). Τῇ ιγ'. Ἀπριλίου. — (ϛ). Ἐγένετο τῇ κθ'. Μαΐου ἡμ. τρίτῃ, 1453.



νοῦς (α) καὶ τῆς ἁγίας Σολομονῆς, (β) τῶν μόνων διαφυλαχθέντων ἀπὸ τῆς ἐπηρείας τῶν δορυκτητόρων, ἐν τῷ τῶν ἁγίων Ἀποστόλων ναῷ, (γ) ἔνθα συγκεχώρητο αὐτῷ ἔχειν τὴν πατριαρχικὴν ἕδραν· ἀλλ' ὑπ' ἀνάγκης μεταστήσας ἐν ἔτει **1456** τὸ πατριαρχεῖον κατὰ τὸν τῆς Παμμακαρίστου ναόν, (δ) συνεπηγάγετο καὶ τὰ ἱερὰ ταῦτα καὶ μυρίπνοα ὄντως κειμήλια, ἀναπαλλοτρίωτα ἤδη γενόμενα τῶν πατριαρχικῶν ναῶν. Ἀφαιρεθείσης γὰρ καὶ τῆς Παμμακαρίστου ἐπὶ Ἱερεμίου β'. τὸ δεύτερον πατριαρχοῦντος (τῷ **1586**), τό,τε πατριαρχεῖον μετετέθη εἰς τὴν Ξυλίνην λεγομένην πύλην καὶ κοινότερον Ξυλόπορταν, καὶ ταῦτα ἐν τῷ ναῷ τοῦ ἁγίου Δημητρίου μετηνέχθη σὺν τῇ ψιφωτῇ τῆς Παμμακαρίστου εἰκόνι, ἥτις καὶ Παραμυθία ἐλέγετο· πρὸς δὲ καὶ μέρος τοῦ κίονος, ἐξ οὗ δήσαντες τὸν Σωτῆρα ἡμῶν ἐμαστίγωσαν Ἑβραίων παῖδες οἱ παράνομοι· ὡσαύτως κἀντεῦθεν ἐπὶ πατριάρχου Ῥαφαὴλ τοῦ β'. μετατοπισθέντος (**1605**) τοῦ πατριαρχείου ἔνθα καὶ νῦν ἐστιν, ἐν τῷ κατὰ Φανάριον ναῷ (ε) τοῦ ἐνδόξου

— (α). Ὅρα το ὑπόμν. ἐν τῇ ἀκολουθίᾳ αὐτῆς συνεκδιδομένῃ ἐνταυθί. — (β). Αὕτη ἦν Ἰουδαία τὸ γένος καὶ ἀρρενόφρων ἀληθῶς μήτηρ τῶν ἑπτὰ Μακκαβαίων παίδων· πάντες δ' οὗτοι καὶ μήτηρ καὶ παῖδες καὶ Ἐλεάζαρος ὁ γηραιὸς αὐτῶν διδάσκαλος ἐμαρτύρησαν ἀνδρικώτατα ὑπὲρ τοῦ Μωσαϊκοῦ νόμου 168 ἔτη π. Χ. πρόδρομοι οὕτω γενόμενοι τῶν ἀπειραρίθμων ὑπὲρ τοῦ χριστωνύμου τῆς χάριτος νόμου μαρτύρων ἑκατέρου τε τοῦ φύλου καὶ πάσης ἡλικίας (βλ. Μακκαβ. βιβλ. β'. καὶ βιβλ. δ'.). Τελεῖται αὐτῶν ἡ μνήμη τῇ ά. Αὐγούστου. Ἀπομνημονεύουσι δέ τινα γνώμην, ὅτι οὐ Σολομονῆς, ἀλλὰ Σαλώμης ἐστὶ τὸ ἱερὸν τοῦτο σῶμα, μιᾶς τῶν ἁγίων Μυροφόρων. (βλ. ὑπόμν. τῆς ἁγίας Θεοφανοῦς ἐν τῇ ά. ἐκδόσει τῆς ἀνὰ χεῖρας βίβλου). — (γ). Μετεβλήθη εἰς μωαμεθανικὸν τέμενος ὑπ' αὐτοῦ τοῦ κατακτητοῦ καὶ ὠνομάσθη ὁμωνύμως αὐτῷ Σουλτὰν Μεχμὲτ τζαμισὴ (βλ. Κωνσταντ. σελ. 132). — (δ). Σήμ. Φατιγὲ τζαμισή. (αὐτόθι σελ. 95). (ε). Ἦν τότε οὗτος γυναικῶν μοναστήριον πάνυ σμικρὸν· ἀλλ' ἀνεκαινίσθη καὶ ἐπηυξήθη εὐρύτερος ἐν ἔτει 1614 ἐπὶ Τιμοθέου πατριαρχοῦντος. Ἐμπρησθεὶς δ' ἐπὶ στάσεως παρ' Ὀθωμανῶν πρὸς τὸν Σουλτάνον Μουσταφᾶν Β'. γενομένης τῷ 1701, ἀνῳκοδομήθη πάλιν τῷ 1720, Ἱερεμίου Γ'. τοὺς πατριαρχικοὺς ἰθύνοντος οἴακας (βλ. Κωνσταντ. σελ. 141 καὶ Σ. Β. σελ. 570).

μεγαλομάρτυρος Γεωργίου, ἀπετέθησαν καὶ ἐν τῷ νέῳ τούτῳ πατριαρχικῷ ναῷ ὡς θησαυροὶ τῆς εὐσεβείας ἀνεκτίμητοι καὶ παρήγοροι ἀγαθοὶ πάσης τεθλιμμένης καὶ ἐν πίστει προσιούσης ψυχῆς.

Τούτῳ τοίνυν τῷ τρόπῳ, ἵν' ἐπὶ τὸ προκείμενον ἔλθωμεν, διασωθὲν ἀκέραιον τὸ πολύτιμον τῆς πανευφήμου Εὐφημίας σκῆνος, διατηρεῖται εἰσέτι σὺν τοῖς δυσὶν ἄλλοις (α) παρὰ τῇ μεγάλῃ τοῦ Χριστοῦ ἐκκλησίᾳ ἐν τοῖς δεξιοῖς τοῦ ναοῦ κείμενον μέρεσιν, ὅπου καὶ παρεκκλήσιον αὐτῇ ἀνατέθειται, (β) οἱονεὶ ἀπαξιῶσαν ἀπ' ἐκκλησίας χωρισθῆναι μέχρι κεραίας ἀπαραποίητον τῆς πίστεως φυλαττούσης τὸν ὅρον, οὗ τὸ τῶν δογμάτων ὀρθὸν καὶ ἀκραιφνὲς ἐπεκύρωσέ ποτε, πνεῦμα ζωῆς ἀναλαβὸν παρὰ τοῦ τὰ πάντα ζωοποιοῦντος Θεοῦ.

Ἀλλ' ἄξιόν μοι δοκεῖ μεμνῆσθαι ὧν ἡ παρθενομάρτυς αὕτη ἰδίᾳ ἐνταυθὶ ἀπολαύει τιμῶν. Ἁπανταχόθεν γὰρ τῆς πόλεως καὶ ἀπὸ τῶν πλησιοχώρων μερῶν ἄπειρον πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν καὶ παίδων συντρέχει ἐν τῇ μνήμῃ μάλιστα τῆς ιά. Ἰουλίου, καὶ τὸ ἱερὸν αὐτῆς καὶ χαριτόβρυτον σκῆνος, ἐν μέσῳ τῷ καθολικῷ ναῷ πανημέριον τότε προκείμενον, ἀπλέτῳ πόθῳ καὶ εὐλαβείας φιλήμασιν ἀσπάζονται· ἀλλὰ καὶ διδάσκαλον αὐτὴν αἵ γε περὶ τὰ χειροτεχνήματα ἐσχολακυῖαι ἐπιγινώσκουσιν, οὐ καθάπερ τὴν Ἐργάνην αἱ παλαιαὶ Ἑλληνίδες, ἀλλ' εὐσεβεστέρῳ φρονήματι καὶ ᾗ μάλιστα θέμις χριστιαναῖς γυναιξίν. Ταῦτα μὲν περιεργότερον· Ἡ δὲ ἀκολουθία τῆς μεγαλομάρτυρος, ἡ κατὰ τὴν ιά. Ἰουλίου ψαλλομένη, τοῖς τῶν ἀποστίχων καὶ τῆς λιτῆς καὶ τῶν αἴνων, ᾀσματικοῖς ἀναπληρωθεῖσα ὕμνοις καὶ κανόνι μᾶλλον πανηγυρικῷ καὶ ἑορτασίμῳ ἁρμόζοντι ἡμέρᾳ πλουτισθεῖσα ὑπὸ τοῦ ἀοιδίμου

— (α). Ἀκέραια ἐστι καὶ ταῦτα, πλὴν τοῦ τῆς ἁγίας Σολομονῆς, ἀφῃρημένου τὸν ἕτερον τῶν βραχιόνων. — (β) βλ. ὑπόμν. τῆς ά. ἐκδόσεως τῆς ἀνὰ χεῖρας Βίβλου. κοινότερον δὲ γνωρίζεται τὸ παρεκκλήσιον τῷ ὀνόματι τῆς Παμμακαρίστου διὰ τὸ ἀνακεῖσθαι ἐν αὐτῷ τὴν σεβασμίαν αὐτῆς εἰκόνα τοῦ προτέρου Πατριαρχείου.



ἐν Πρωτοψάλταις Ἰακώβου τοῦ Βυζαντίου, (α) κατὰ πρῶτον ἰδίᾳ τύποις ἐξεδόθη σὺν τῇ τῆς ὁσίας Θεοφανοῦς, ὑπὸ τοῦ αὐτοῦ ᾀσματουργηθείσῃ ποιητοῦ. ἐν Κωνσταντινουπόλει, 1808· εἶτα καὶ ἐν τοῖς νεωτέροις τῶν Μηναίων. Νῦν δ' αὖ τὸ δεύτερον χάριν εὐλαβείας τε καὶ τῶν πανηγυρικῶς ἐκτελεῖν αὐτῆς τὴν μνήμην ἐθελόντων ἐπιδιορθωμένη ἐν ἰδίῳ τυποῦται φυλλαδίῳ, καὶ σὺν αὐτῇ ἡ τῆς ἁγίας Θεοφανοῦς πάλιν διά τε τὸ μὴ εἶναι ἐν τοῖς Μηναίοις καὶ διὰ τὸ τελεῖσθαι ἐν τοῖς Πατριαρχείοις τὴν μνήμην τῆς ἁγίας. Προσετέθησαν δ' ἐν παραρτήματι ά.) Μεγαλυνάριά τινα εἰς τὴν μεγαλομάρτυρα Εὐφημίαν, ὄντα πρότερον γεγραμμένα κατ' ἐκκλησιαστικὴν ἔγκρισιν ἐν ἑνὶ τῶν φυλλαδίων, ὅπως ψάλλωνται ἐν ταῖς παρακλήσεσιν· β΄.) δύο κανόνες εἰς τὴν αὐτὴν ἁγίαν, οὓς ἀνεκδότους τέως τυγχάνοντας ἀντεγράψαμεν ἐκ χειρογράφων κωδίκων, σωζομένων ἐν τῇ κατὰ τὴν νῆσον Χάλκην ἱερᾷ μονῇ τῆς Θεοτόκου· πεποίηνται δὲ ὁ μὲν ὑπὸ Ἰωσήφ, ὁ δὲ ὑπ' Ἀνδρέου (β)· γ΄.) Ὠδή τις ἐν στίχοις πολιτικοῖς εἰς τὴν

— (α). Εἷς οὗτος τῶν ἐπισημοτέρων τῆς Μεγάλης Ἐκκλησίας Πρωτοψαλτῶν, ἐκκλησιαστικὸς λόγιος καὶ τρίβων τοῦ καθ' Ἕλληνας λόγου καὶ τοῖς καθ' ἡμᾶς λυρικοῖς ποιηταῖς ἐναρίθμιος (φέρονται τούτου ποιημάτια πολλὰ καὶ καλὰ ἐκδεδομένα σποράδην, ἔστι δ' ἃ καὶ ἀνέκδοτα, βλ. καὶ Κ. Οἰκονόμου Γραμματικά), ἀκμάσας φθινούσης τῆς ιή. καὶ ἀρχομένης τῆς ἐνεστώσης ἑκατονταετηρίδος. πολλὰ δὲ καὶ τῶν ἱερῶν τῆς ἐκκλησίας βιβλίων διωρθώσατο καὶ τὴν ἐκκλησιαστικὴν ὑμνῳδίαν πολλοῖς τε καὶ λαμπροῖς ἐκόσμησε μέλεσιν. — (β) Ἕτερος οὗτος καὶ νεώτερος Ἀνδρέου τοῦ Κρήτης, ὡς ἔστιν εἰκάσαι ἔκ τε τῆς ἐπιγραφῆς ἁπλοῦν φερούσης τοὔνομα ἄνευ τοῦ συνήθους προσδιορισμοῦ, «Κρήτης» φέρε, ἢ «Ἱεροσολυμίτου» καὶ μάλιστα ἐκ τῆς γιγνομένης, ὡς εἴρηται, ἔν τινι τροπαρίῳ μνείας τῆς διὰ τῆς Προποντίδος θαυμασίας διαπλεύσεως τοῦ ἱεροῦ τῆς μάρτυρος λειψάνου, ἥτις δῆλον ὅτι γέγονεν ἐπὶ Κοπρωνύμου τῷ 761, ὅτε ὁ ἐν ἁγίοις Ἀνδρέας Κρήτης οὐκέτι περιῆν τῷ βίῳ, τετελευτηκὼς τῷ 723, ἢ 720 κατ' ἄλλους· πλὴν εἰ μή τις εἴποι τὸν μὲν ὅλον κανόνα Ἀνδρέου τοῦ Κρήτης εἶναι, αὐτὸ δὲ τὸ τροπάριον νεωτέρας χειρὸς πρόσθετον. Παρατηρητέον δέ, ὅτι ἐν τῷ κανόνι τούτῳ περιέχεται καὶ β΄. Ὠδή, κατὰ μίμησιν, ᾗ δοκεῖ, τοῦ εἰς τὸν Λάζαρον κανόνος, καὶ ὅτι τινὲς τῶν ᾠδῶν οὐκ ἔχουσι τὰ τροπάρια ἰσάριθμα τῇ πρώτῃ, κολοβωσίν τινα ὑπὸ τοῦ χρόνου ἴσως παθοῦσαι.

μνήμην τῆς ἁγίας πεποιημένη. Δέξασθε οὖν ἅπαντες εὐγνωμόνως, φιλόθεοι καὶ φιλομάρτυρες ἐν Χριστῷ ἀδελφοί, τὴν βίβλον, καὶ μνείαν ποιούμενοι ἐν ταῖς προσευχαῖς ὑμῶν τοῦ φιλοτίμως αὐτὴν μετατυπώσαντος εὐλαβείᾳ τε τῇ πρὸς τὴν μάρτυρα καὶ ζήλῳ τῷ ὑπὲρ τῆς ἐν Χαστῷ ἀδελφότητος, ἔρρωσθε καὶ " ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ. ,,

Ἐν Κωνσταντινουπόλει, τῇ ιά. Ἰουλίου, ͵αωνζ΄.

Μνήσθητι μα Ἁγία τοῦ Θεοῦ Εὐφημία τοῦ ἁμαρτωλοῦ
† Μοναχοῦ Νικηφόρου ἐν τῇ Ἁγίᾳ Μονῇ Ἁγίας Τριάδος
τῇ 7η Ἰουλίου 1927. ἐν Πετσάλη Κ. Αργ/ρου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΜΗΝ ΙΟΥΛΙΟΣ

## ΕΙΣ ΤΗΝ ΙΑ΄. ΤΗΣ ΑΓΙΑΣ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΕΥΦΗΜΙΑΣ

Εἰς τὸ Λυχνικὸν στιχολογοῦμεν τὸ α΄ Ἀντίφωνον τό, Μακάριος ἀνὴρ, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια. ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

**Ὢ** τοῦ παραδόξου θαύματος, ἡ τοῦ Κυρίου ἀμνάς, τὴν αὐτοῦ ἐθελούσιον, μιμουμένη νέκρωσιν, διὰ πόνων ἀθλήσεως, κειμένη τάφῳ, αἵματος πρόχυσιν, ἀναπηγάζει σθένει τοῦ πνεύματος, ἣν ἀρδυόμενοι, εἰς ψυχῶν καθάρσιον, τῷ τοῦ παντὸς αἴνεσιν προσάγομεν Θεῷ ἑκάστοτε.

**Μ**άρτυς ἀληθῶς πανεύφημε, θηρῶν ἐπέσχες ὁρμάς, Δανιὴλ ὡς τὸ πρότερον, καὶ πυρὸς ἐν χάριτι, εὐχερῶς κατετόλμησας, καὶ πᾶσαν βάσανον ὑπομείνασα, ἐδέξω στέφος νίκης ἀμάραντον καὶ ἀνελήλυθας πρὸς τὸν σοὶ ποθούμενον, περιχαρῶς, ὅθεν σε γεραίρομεν, καὶ μακαρίζομεν.

**Θ**είων πατέρων συνάθροισμα, πίστεως ὅρον τῇ σῇ κορυφῇ ἐπιτίθεται. ὅν περ παναοίδιμε ἠγκαλίσω φυλάττουσα τὴν θείαν πίστιν ἀπαρασάλευτον, ἐκτρεπομένη ἅπασαν αἵρεσιν, καὶ καταισχύνουσα τοὺς τοῦ ψεύδους ἔνδοξε προασπιστάς, ὅθεν σε γεραίρομεν καὶ μακαρίζομεν.

Ἕτερα, ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

**Τ**ὴν σορὸν τῶν λειψάνων σου, καθορῶντες Πανεύφημε, ῥῶσιν ἀρυόμεθα ἀδαπάνητον, καὶ τὰς ψυχὰς φωτιζόμεθα, καὶ νοῦν ἐλλαμ-

πόμεθα καθαρθέντες νοητῶς, ταῖς ἀκτῖσι τοῦ Πνεύματος μεσιτείαις σου, ἱεραῖς Εὐφημία διὰ τοῦτο, μετὰ πόθου εὐφημοῦμεν τὴν ἱεράν σου πανήγυριν.

Καὶ πυρὶ προσωμίλησας, καὶ θηρίοις ἐκδέδοσαι, καὶ ἐν λάκκῳ βέβλησαι καλλιπάρθενε, καὶ τοῖς τροχοῖς ἐπιτέθησαι, ἐξ ὧν σε ἐῤῥύσατο ὁ τῶν ὅλων ποιητὴς, καταισχύνας τὸν ταῦτά σοι μηχανώμενον, καὶ δοξάσας σε μάρτυς Εὐφημία τὴν κηρύξασαν τὸν ἕνα, Χριστὸν ἐν δύο ταῖς φύσεσι.

Εὐτυχῆ, καὶ Διόσκορον, καὶ τοὺς τούτοις ὁμόφρονας ἀκεφάλους ἅμα τε καὶ παράφρονας, τοὺς ἀνιάτως νοσήσαντας, εἰς τέλος κατήσχυνεν Εὐφημία ἡ σεπτὴ, καὶ Χριστὸν ἀνεκήρυξε ταῖς θελήσεσιν, ἐνεργείαις τε ἅμα διπλοῦν ὄντα, καθ' ὑπόστασιν δὲ ἕνα, ὡς οἱ πατέρες ἐτράνωσαν.

Δόξα. ἦχος πλ. β'.

Ἐκ δεξιῶν τοῦ Σωτῆρος, παρέστη ἡ Παρθένος, καὶ ἀθληφόρος καὶ μάρτυς, περιβεβλημένη ταῖς ἀρεταῖς τὸ ἀήττητον, καὶ πεποικιλμένη ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως, καὶ βοῶσα πρὸς αὐτὸν, ἐν ἀγαλλιάσει τὴν λαμπάδα κατέχουσα, εἰς ὀσμὴν μύρου σου ἔδραμον Χριστὲ ὁ Θεὸς, ὅτι τέτρωμαι τῆς σῆς ἀγάπης ἐγώ· μὴ χωρίσῃς με νυμφίε ἐπουράνιε. Αὐτῆς ταῖς ἱκεσίαις κατάπεμψον ἡμῖν παντοδύναμε Σωτὴρ τὰ ἐλέη σου.

Καὶ Νῦν.

Τίς μὴ μακαρίσει σε, Παναγία παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ πατρὸς ἐκλάμψας υἱὸς μονογενὴς, ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθείς. Φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος, αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.



Ἡ εἴσοδος, Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε, καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεὸς. ὅτι ἀπ' ἀρχῆς ἐγὼ εἰμὶ, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ἡμᾶς ὁ ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία, σύντριμμα. Οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ,

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου.

Εἰς τὴν Λιτὴν ἦχος α'.

Δεῦτε πάντες οἱ πιστοί, τὴν ἐτήσιον μνήμην τῆς πανευφήμου Εὐφημίας μετ' ἐγκωμίων ὑμνήσωμεν λέγοντες. Χαίροις ἀθληφόρε μάρτυς, ἡ τῶν τυράννων τὰ θράση καταργήσασα, καὶ τῶν κακοδόξων τὴν ἄνοιαν ἀπελέγξασα· χαίροις τῆς Χαλκηδόνος τὸ κάλλιστον θρέμμα, καὶ τῶν ὀρθοδόξων τὸ ἄσειστον ἔρεισμα· χαίροις ἡ διὰ Χριστὸν τὸν νυμφίον σου, τὴν μὲν ἀκμὴν τοῦ σώματος ταῖς βασάνοις καταναλώσασα, τὴν δὲ ψυχὴν ταῖς ἀκτῖσι τοῦ πνεύματος ἐκλαμπρύνασα· χαίροις ἡ πρεσβεύουσα πάντοτε ὑπὲρ τῶν πίστει, καὶ πόθῳ τελούντων σου τὰ μνημόσυνα.



Ἦχος β'.

Ὢ τοῦ παραδόξου θαύματος, ὥσπερ ζῶσα ἡ μάρτυς, καὶ θανοῦσα ἐν λάρνακι, ταῖς τιμίαις αὐτῆς χερσὶ τὸν ἡμέτερον τόμον ἐπέφερε, τὸν δὲ τῶν αἱρετικῶν τοῖς ποσὶ κατεπάτησεν, ἐκφαυλίζουσα τούτων τὸ κακόνουν καὶ βλάσφημον, τῶν δὲ πιστῶν κρατύνουσα τὸ ὀρθόν, καὶ ἀκίβδηλον, ἕνα μὲν καθ' ὑπόστασιν τὸν Χριστὸν κηρυττόντων, διπλοῦν δὲ κατὰ φύσιν καὶ θέλησιν, ἧς ταῖς πρεσβείαις Χριστὲ ὁ Θεός, εἰρήνην ταῖς ἐκκλησίαις σου δώρησαι καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος γ'.

Τοὺς τῆς ἀθλήσεως μάρτυς ἀγῶνας, καὶ τῆς πίστεως, οὓς ὑπὲρ Χριστοῦ ἠγωνίσω, ἐν ἀσθενεῖ τοῦ θήλεος φύσει, ἐπαξίως τίς διηγήσεται; ἢ τίς ἐξειπεῖν κατισχύσει τῶν ἀρετῶν σου τὰ προτερήματα, καὶ τῶν σῶν θαυμάτων τὰ πλήθη, Εὐφημία πανεύφημε; τό,τε στεῤῥὸν τῶν ὀρθῶν δογμάτων, καὶ ὀρθοδοξίας τὸ μόνιμον· διὸ καὶ ὑπὸ τῶν θείων πατέρων τὸν τῆς πίστεως ὅρον, ὡς ζηλωτὴς ταύτης πεπίστευσαι, ὃν καὶ φυλάττεις διὰ παντὸς ἀπαράτρεπτον, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'.

Μαρτυρικὴν πανήγυριν ἐπὶ γῆς τελουμένην κατοπτεύοντες σήμερον, εὐφρανθῶμεν τῷ πνεύματι, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι. Συνεκάλεσε γὰρ ἡμᾶς Εὐφημία ἡ σεπτή, διὰ τοῦ ἱεροῦ, καὶ καλοῦ τῆς ἐκκλησίας ποιμένος, καὶ προθεῖσα ἡμῖν ἑαυτήν, συγχωρεῖ ἑκάστῳ τὸν ἁγιασμὸν ἀπαρύσασθαι. Προσέλθωμεν δὴ ἐν πίστει καὶ ἀδιστάκτῳ διανοίᾳ, μηδὲν ὑφορώμενοι, ἵνα ἐκ τῆς ἁγίας σοροῦ ἀπαντλήσωμεν ἀφθόνως τῶν νοσημάτων τὴν ἴασιν, αἰτούμενοι συγχώρησιν παρὰ Χριστοῦ τοῦ Θεοῦ καὶ τὸ μέγα ἔλεος.

Δόξα· ἦχος πλ. α'.

Σήμερον τοῦ ἐπουρανίου βασιλέως ἡ ἀμίαντος νύμφη, συγκαλεῖται ἡμᾶς πρὸς ἑστίασιν πνευματικήν, Εὐφημία ἡ πάνσεπτος.

Δεῦτε οὖν φιλέορτοι πάντες μυστικῶς εὐφρανθῶμεν, ἐν τῇ πανσέπτῳ αὐτῆς καὶ λαμπρᾷ πανδαισίᾳ, καθαρθέντες τῷ νοῒ, ἐν φαιδραῖς ταῖς στολαῖς κατηγλαϊσμένοι τοῦ θείου πνεύματος. Αὕτη γὰρ ὡς ἁγνὴ περιστερὰ τῷ τῆς παρθενίας κάλλει, τῷ υἱῷ νυμφευθεῖσα, ὁλικῶς τὴν ἁγίαν τριάδα ἐν ἑαυτῇ εἰσῳκίσατο, Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα ἅγιον, τὸν ἕνα Θεὸν, ὃν καὶ ποθοῦσα καὶ ζητοῦσα ἐνήθλησε. Διὸ καὶ συμβασιλεύει αὐτῷ εἰς αἰῶνας ἐν τοῖς ἐπουρανίοις σκηνώμασι.

Καὶ Νῦν. Θεοτοκίον. Μακαρίζομέν σε Θεοτόκε.

Εἰς τὸν Στίχον, πρὸς τὸ,

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε καθαρθῶμεν ἀδελφοὶ, χείλεσι, ψυχῇ, καὶ καρδίᾳ, καὶ ἀρυσώμεθα, πλοῦτον ἀδαπάνητον ἐκ τῆς ἁγίας σοροῦ, δωρεὰν προχεόμενον, νῦν τῆς Πανευφήμου, μέσον προκειμένης τε, καὶ ὁρωμένης τρανῶς, ἥν περ μακαρίζοντες πόθῳ, καὶ πιστῶς γεραίροντες πάντες, θείοις ἐγκωμίοις καταστέψωμεν.

Ὑπομένων, ὑπέμεινα τον Κύριον καὶ προσέσχε μοι.

Ἔστης πρὸ βημάτων καρτερῶς, δυσσεβῶν τυράννων, ὡς ἄκμων πόνοις ἀνάλωτος, Μάρτυς καλλιπάρθενε Χριστὸν κηρύττουσα, Θεὸν εἶναι παντέλειον, καὶ σάρκα λαβόντα, ἐν δυσὶ ταῖς φύσεσι, καὶ ταῖς θελήσεσι· ὅθεν πρὸς τοὺς πόδας τὸν τόμον, τῶν αἱρετικῶν ἀποῤῥίπτεις, χερσὶ τὸν ἡμέτερον κατέχουσα

Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.

Μάρτυς Εὐφημία τοῦ Χριστοῦ, πάντες εὐφημοῦμεν ἐν πίστει, καὶ μακαρίζομεν, ἱεροῖς ἐν ᾄσμασι καὶ μελῳδήμασι, τὴν σεπτήν σου πανήγυριν, εἰς ἓν συνελθόντες, οὓς τὸ νῦν συνήθροισεν ὁ Βυζαντίων ποιμὴν, ὅν περ φρούρει, φύλαττε σκέπε, καὶ ἡμᾶς παντοίας ἐκ βλάβης, λύτρωσαι πρεσβείαις σου Πανεύφημε.



Δόξα· ἦχος πλ. β'.

Ἡ Διηνθισμένη ταῖς ἀρεταῖς, καὶ πεφωτισμένη τὸν λογισμὸν, ἡ μῦρα προχέουσα ἐν ταῖς καρδίαις τῶν πιστῶν, ἡ ἐκ τῆς ἑώας ἀνατείλασα ὡς ἀστὴρ φαεινὸς, καὶ ἄθροισμὸν ποιήσασα διὰ τῆς τοῦ ἁγίου πνεύματος ἐπιφοιτήσεως, τῶν θείων πατέρων, μὴ διαλείπῃς ὑπὲρ ἡμῶν δυσωποῦσα πρὸς Κύριον, Εὐφημία πανεύφημε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ Νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· σὲ ἱκετεύομεν, πρέσβευε, Δέσποινα, μετὰ τῆς ἀθλοφόρου καὶ πάντων τῶν ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον· ἦχος γ'.

Λίαν εὔφρανας τοὺς ὀρθοδόξους, καὶ κατῄσχυνας τοὺς κακοδόξους, Εὐφημία Χριστοῦ καλλιπάρθενε, τῆς γὰρ τετάρτης Συνόδου ἐκύρωσας, ἃ οἱ πατέρες καλῶς ἐδογμάτισαν· μάρτυς ἔνδοξε Χριστὸν τὸν Θεὸν ἱκέτευε δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν πρώτην στιχολογίαν καθίσματα.

Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Ἡ νύμφη καὶ ἀμνὰς, τετρωμένη τῷ πόθῳ, Χριστοῦ τοῦ ἑαυτῆς οὐρανίου νυμφίου, ὀπίσω σου ἔδραμε τὴν λαμπάδα κατέχουσα, τὴν δι' ἔλαιον τῶν ἀρετῶν ἀνημμένην, ταύτης ἅπαντας πρεσβείαις ῥῦσαι κινδύνων, ὡς μόνος φιλάνθρωπος.

Θεοτοκίον, ὅμοιον.

Ἐλπὶς χριστιανῶν Παναγία παρθένε, ὃν ἔτεκες Θεὸν ὑπὲρ νοῦν τε καὶ λόγον, ἀπαύστως ἱκέτευε σὺν ταῖς ἄνω δυνάμεσι, δοῦναι ἄφεσιν ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν βίου, τοῖς πίστει καὶ πόθῳ ἀεί σε δοξάζουσι.

ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΚΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Μετὰ τὴν β΄. στιχολογίαν, ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

**Κ**ατησχύνθησαν αἰσχρῶς αἱρετιζόντων ἡ πληθὺς, καὶ τὰ πρόσωπα αὐτῶν ὕβρεως πέπλησται πολλῆς, ὅτε ἑώρων ποσί σου κατεῤῥιμένον τὸν τόμον ἑαυτῶν, τὸν δὲ ἡμέτερον τιμίαις σου χερσὶ κατεχόμενον, κατηγοροῦντα ἄνοιαν ἐνδίκως τῶν κακοδόξων· καὶ κράζοντα· Χριστὸς ἐτέχθη διπλοῦς τῇ φύσει, διπλοῦς καὶ ταῖς θελήσεσι.

Ἕτερον, Θεοτοκίον.

**Κ**ατεπλάγη Ἰωσὴφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν τὸν ἐπὶ πόκον ὑετὸν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε. βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν, καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ, τοῖς ἱερεῦσιν ἐκραύγαζε, Παρθένος τίκτει, καὶ μετὰ τόκον πάλιν μένει Παρθένος.

Μετὰ τὸν Πολυέλεον· ἦχος πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς.

**Ἐ**ν τῇ εὐσήμῳ ἑορτῇ τῆς πανευφήμου, μετ᾽ ἐγκωμίων ψαλμικῶς πιστῶν ὁ δῆμος, εὐφημήσωμεν πόθῳ Χριστοῦ τὴν Παρθένον· δογμάτων γὰρ ἀνεδείχθη τῶν πατρικῶν, συλλήπτωρ καὶ μετὰ τέλος, θαῦμα φρικτὸν, Διόσκορον καὶ Εὐτυχέα, τοὺς κακῶς περὶ Χριστοῦ νοσήσαντας, ὃν ὑμνοῦντες δοξάζομεν.

Δόξα, καὶ νῦν. Θεοτοκίον

**Ε**ὐχαριστοῦμέν σοι ἀεὶ Θεοτόκε, καὶ μεγαλύνομεν Ἁγνὴ καὶ προσκυνοῦμεν, ἀνυμνοῦντες τὸν Τόκον σου κεχαριτωμένη, βοῶντες ἀκαταπαύστως, σῶσον ἡμᾶς, Παρθένε παντελεῆμον ὡς ἀγαθὴ, καὶ δαιμόνων ἐξάρπασον, λογοθεσίου φοβεροῦ, ἐν ὥρᾳ τῆς ἐτάσεως, μὴ αἰσχυνθῶμεν οἱ δοῦλοί σου.

Εἶτα οἱ Ἀναβαθμοὶ, τὸ ά. ἀντίφωνον τοῦ δ΄. ἤχου

προκείμενον ἦχος β΄.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι,

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. Τὸ, πᾶσα πνοή.



Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον.

**Τ**ῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολὺς, καὶ συνέθλιβον αὐτῷ. Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανήσασα τὰ παρ᾽ ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα, ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ· ἔλεγε γὰρ, ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι. Καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς, καὶ ἔγνω τῷ σώματι ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε, τίς μου ἥψατο τῶν ἱματίων; Καὶ ἔλεγον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις, τίς μου ἥψατο; Καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνὴ, φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ᾽ αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ, θύγατερ, ἡ πίστις σου σέσωκέ σε· ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

Εἶτα τὸ, Ἐλέησόν με ὁ Θεός.

Πλ. β΄. Ἐκ δεξιῶν τοῦ Σωτῆρος παρέστη.

Ζήτει τὸ Δοξαστικὸν τοῦ ἑσπερινοῦ.

## Ο ΚΑΝΩΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ.

Ποίημα Θεοφάνους.

Ὠδὴ ά. ἦχος δ΄. Ὁ Εἱρμός.

**Ἀ**νοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ,, ἐρεύξομαι τῇ βασιλίδι Μητρὶ, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρί- ,, ζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Τροπάριον.

**Α**ἰσθήσεων Δέσποινα, διπλῆν πεντάδα συνέτισον· δεκάχορδον ὄργανον δεῖξον σῇ χάριτι, τὴν ὑπέρχρονον, σοφίαν ἡ τεκοῦσα, ἀρ-

μόνιον ὅπως σοι ᾄσω μελῴδημα.

Ἰσχύϊ πανάμωμε, βουλῆς μεγάλης ὁ ἄγγελος· ὁ πάντα στησάμενος, ἐκ τοῦ μὴ ὄντος τὸ πρὶν, ἐπεδήμησεν, ἐκ σοῦ δι' εὐσπλαγχνίαν, καὶ σχίσας τὸν κώδικα λύσιν δεδώρηται.

Νεφέλην σε ἔμψυχον, τοῦ πατρικοῦ ἀπαυγάσματος, γινώσκομεν Δέσποινα, ἀνατολὴν τοῦ φωτὸς, τοῦ φωτίσαντος, ἡμῶν τὴν ἀκοσμίαν, καὶ πάντας ἑλκύσαντος πρὸς τὰ οὐράνια.

ΕΤΕΡΟΣ ΤΗΣ ΑΓΙΑΣ.

Ἀνοίξω τὸ στόμα μου καὶ πληρωθήσεται πνεύματος, καὶ ᾄσω μελῴδημα τῇ ἀθληφόρῳ Χριστοῦ, καὶ ὀφθήσομαι φαιδρῶς ἀνακηρύττων, τοὺς πόνους, οὓς ἤνεγκε καὶ τὰ παλαίσματα.

Ἰάσεων ἄφθονα ἡμῖν προχέεις χαρίσματα, τοῖς πίστει προστρέχουσιν, ἐν τῷ ναῷ σου, σεμνὴ, καὶ αἰτοῦσί σε, ἐκ βάθους τῆς καρδίας, καὶ πόθῳ τὴν μνήμην σου πανηγυρίζουσι.

Δόξα.

Ναὸς ἐχρημάτισας κατὰ τὸν θεῖον ἀπόστολον, ἐν ᾧ περ ηὐδόκησε Χριστὸς ὁ Κύριος, ἐνοικίσαι τε, καὶ ἐμπεριπατῆσαι, ψυχῆς καθαρότητι μάρτυς πολύαθλε.

Καὶ νῦν. Θεοτοκίον.

Οὐ κρύπτομεν Δέσποινα, τοῦ σοῦ ἐλέους τὴν ἄβυσσον, καὶ βρύσιν τὴν ἄφθονον τῶν τεραστίων σου, καὶ τὸ πέλαγος τῶν εὐεργεσιῶν σου, ὧν πᾶσι δι' ἔλεον πολὺν ἐξέχεας.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγὴ, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.

Τροπάριον.

Νενίκηνται φύσεως οἱ ὅροι, καὶ λέλυνται νόμοι φυσικοὶ, τῇ ὑπὲρ νοῦν λοχείᾳ σου, Παρθενομῆτορ ἄχραντε· ἐκ σοῦ γὰρ ὁ ἀνείδεος,



σαρκὸς τὸ εἶναι προσείληφεν.

Ἀμίαντον κλίνην Σολομῶν σὲ, κατεῖδεν ἑξήκοντα σοφοῖς, πυργουμένην Δέσποινα, ἐν ᾗ Θεὸς τὸ πρόσλημμα, ἀνακλιθεὶς προσέλαβε, καὶ τοῖς βροτοῖς προσωμίλησεν.

Πορφύραν ἁγνῶν σου ἐξ αἱμάτων, ὁ Λόγος φορέσας τοῦ Θεοῦ, δίχα τροπῆς καὶ φύρσεως, καὶ τοῦ Ἀδὰμ τὴν γύμνωσιν, καλύψας περιέβαλε, τὴν θεϊκὴν ὡραιότητα.

Τῆς ἁγίας.

Ὢ πῶς ἐν τῷ μέσῳ τοῦ σταδίου, ἀθλοῦσα ἡ μάρτυς τοῦ Χριστοῦ· τὸν τύρανον ἐξέστησε δι' ἄκραν καρτερότητα, ἀνδρείως γὰρ ὑπήνεγκε τὰ τῶν δεινῶν κολαστήρια.

Πανεύφημε μάρτυς Εὐφημία, εὐφήμοις ἐν ᾄσμασιν ἀεὶ, τὴν μνήμην σου γεραίρομεν, τὴν σὴν πλουτοῦντες λάρνακα, τὸ λείψανόν σου φέρουσαν, τὸ ἱερὸν καὶ σεβάσμιον.

Δόξα.

Ἀνδρείως κατέβαλες τὸν ὄφιν, τὸν μέγαν σεμνὴ τὸν νοητὸν, δυναμωθεῖσα χάριτι, πατρὸς υἱοῦ καὶ πνεύματος, τῆς ἀσυγχύτου φύσεως, καὶ τρισηλίου θεότητος.

Καὶ νῦν. Θεοτοκίον.

Ὑμνήσωμεν πάντες κατὰ χρέος, Μαρίαν τὴν δέσποιναν ἁγνὴν, τὴν μόνην ἀειπάρθενον· αὕτη γὰρ τὸ κεφάλαιον τῆς σωτηρίας γέγονεν ἡμῶν δι' ἄκραν καθαρότητα.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα. ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ ἑκουσίως.

Τὸν νυμφίον σου Χριστὸν ἀγαπήσασα, τὴν λαμπάδα σου φαιδρῶς εὐτρεπίσασα, ταῖς ἀρεταῖς διέλαμψας πανεύφημε· ὅθεν εἰσελήλυθας, σὺν αὐτῷ εἰς τοὺς γάμους, στέφος τῆς ἀθλήσεως, παρ' αὐτοῦ δεξαμένη. Ἀλλ' ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς ἐκτελοῦντας ἐν πίστει τὴν μνήμην σου.

Θεοτοκίον ὅμοιον.

Καταφυγὴ τῶν ἐν δεινοῖς ὑπαρχόντων, καταλλαγὴ πρὸς τὸν Θεὸν τῶν πταιόντων, ὑπεραγία Δέσποινα, περίσωζε ἡμᾶς, πάσης περιστάσεως καὶ κακίας ἀνθρώπων, καὶ φρικτῆς κολάσεως, καὶ παθῶν ἀτιμίας, τοὺς ἀδιστάκτῳ πίστει σε ἀεί, προσκαλουμένους, Παρθένε πανύμνητε.

Ὠδὴ δ'.

Τὴν ἀνεξιχνίαστον θείαν βουλὴν τῆς ἐκ τῆς Παρθένου σαρκώσε-
„ως, σοῦ τοῦ Ὑψίστου, ὁ προφήτης Ἀββακοὺμ, κατανοῶν ἐ-
„κραύγαζε· Δόξα τῇ δυνάμει σου Κύριε.

Τροπάριον.

Λέγε μοι νυμφίε λέγε τρανῶς, ποῦ ποτε ποιμαίνεις τὰ πρόβατα, ἡ νύμφη κράζει, τῷ νυμφίῳ καὶ υἱῷ· ἡ ὀσμὴ γὰρ τῶν μύρων σου, πάντας τοὺς φιλοῦντάς σε εἵλκυσεν.

Ὦτά μοι διάνοιξον τὰ τῆς ψυχῆς, μῆτερ τοῦ Θεοῦ ἡ γεννήσασα, τὸν πρὶν τὰ ὦτα διανοίξαντα κωφοῦ, καὶ θείους ἐνωτίζεσθαι λόγους καὶ πληροῦν καταξίωσον.

Ὡς οὖσαν ἐκπλήρωμα τῶν ἐν Σινᾶ, τύπων καὶ συμβόλων πανάχραντε, πάντως προφῆται, σὲ ἀνύμνησαν φωναῖς, προμηνυοῦσαις ἅπασι, τὰ σὰ μεγαλεῖα καὶ θαύματα.

Τῆς ἁγίας.

Ὄλβον ἐθησαύρησας τὸν ἀληθῆ, ὅν περ σὴς καὶ βρῶσις οὐ δύνανται ἐξαφανίσαι, καλλιπάρθενε σεμνή· οὐ γὰρ ἐν γῇ κατέκρυψας, τοῖς δεομένοις δὲ ἐσκόρπισας.

Θάμβους ἐπληρώθησαν καὶ χαρμονῆς, ὄντως τῶν πατέρων ὁ σύλλογος, ἐν ταῖς χερσί σου καθορῶντες ὦ σεμνή, τὸν τόμον τὸν ὀρθόδοξον, ἐν δὲ τοῖς ποσὶ τὸν ἀλλότριον.

Δόξα.

Ὕβρεως ἐπλήσθησαν σφόδρα πολλῆς, οἱ περὶ Διόσκορον ἅπαντες καὶ Εὐτυχέα, οἱ νοσήσαντες κακῶς, οὓς ἐπὶ τέλους ᾔσχυνας



μάρτυς Εὐφημία πανεύφημε.

Καὶ νῦν. Θεοτοκίον.

Νόες ἐπουράνιοι, τὸ ἐπὶ σοί, ὄντως Θεοτόκε μυστήριον, κατανοοῦντες ἐξεπλάγησαν· διὸ ἰλιγγιῶσι δέσποινα, ὕμνον κατ' ἀξίαν προσφέρειν σοι.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ ε'.

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε
„Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας
„ἄχρονον υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

Τροπάριον.

Ἰσχύς μου καὶ ὕμνησις, ὑπάρχεις παναμώμητε· ἔρεισμα στεῤῥὸν τῆς ἀληθείας· τῆς εὐκληρίας ἡ ἐπανάκλησις· ἐν ᾗ ἀνατίθημι σεμνή, πᾶσαν τὴν ἐλπίδα μου, καὶ ζωῆς τὴν ἀπόλαυσιν.

Σεμνὴ χαριτόπλοκος, σὺ εἶ φύσιν τὴν ἄστεκτον, κρύψασα Θεότητος ἐν μήτρᾳ, ἀναλλοιώτως ἐν ὑποστάσει μιᾷ· δι' ἧς σαρκοφόρος ὁ Θεός, πᾶσιν ἀναδέδεικται, καὶ βροτὸς ὑπερούσιος.

Γλυκεῖα σὺ θάλασσα, ἀλλ' ὅμως ἀδιάβατος, ἄρδην ἡ βυθίσασα τριστάτας, καὶ ἀναβάτας σὺν νοητῷ Φαραώ, καὶ σώσασα νέον Ἰσραήλ, πόλιν εἰς οὐράνιον, καὶ λιμένα γαλήνιον.

Τῆς Ἁγίας.

Μερίδα πανεύφημε, τὴν ἀγαθὴν προέκρινας, πάντα παριδοῦσα τὰ τοῦ βίου, δόξαν καὶ πλοῦτον, ἑνὸς γὰρ χρεία ἐστί, μέριμναν καὶ τύρβην τῶν πολλῶν, σὺ ἀπεσκοράκισας τὴν Μαρίαν ζηλώσασα.

Ὢ ξένον τεράστιον, νεκρὰ μὲν ἐν τῷ μνήματι, θαύματα τελεῖ, ὥσπερ τις ζῶσα, κρείττονα πάντως ἢ κατὰ ἄνθρωπον, αἱμάτων ἐκβλύζουσα κρουνούς, εἰς ἔνδειξιν μείζονα, ὅτι ζῶσιν οἱ δίκαιοι.

Δόξα.

Συνοῦσα τῷ κτίστῃ σου, ἐν οὐρανοῖς πανεύφημε, ἔντευξιν ποιοῦ ὑπὲρ τῶν πίστει, ἀνευφημούντων τὴν θείαν μνήμην σου, μάρτυς

Εὐφημία τοῦ Χριστοῦ, ὑπὲρ οὗ τὸ αἷμά σου ὥσπερ θῦμα ἐξέχεας.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Δέσποινα τῶν προφητῶν ἡ πρόῤῥησις, ὄντως ἐπὶ σοὶ πέρας λαμβάνει· καὶ γὰρ συνέλαβες ἐν τῇ μήτρᾳ τῇ σῇ, τὸν λόγον τὸν ἄναρχον πατρὸς, ὡς ὁ θεῖος σύλλογος τουτωνὶ προεκήρυξε.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ς΄.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεόφρονες, ,, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τε- ,, χθέντα Θεὸν δοξάζοντες.

Τροπάριον.

Σοφίαν λόγον κηρύττομεν, υἱὸν τὸν τοῦ πατρὸς προαιώνιον, ἐπισκηνώσαντα, οὐσιωδῶς ἐν τῇ μήτρᾳ σου, καὶ τῇ ἀρίστῃ πλάσει ἡμᾶς θεώσαντα.

Ὁ στήσας ὄρη τῷ νεύματι, σὲ ὄρος νοητὸν καθυπέδειξε, Θεοχαρίτωτε, ταῖς ἀρεταῖς ὂν κατάσκιον· ἐξ οὗ αὐτὸς τὴν σάρκα κατελαξεύσατο.

Ἰῷ δηχθεῖσα τοῦ ὄφεως, τὸ γένος ἡ προμήτωρ διώλεσεν, ἐκ σῆς δὲ πάναγνε, ἀνερμηνεύτου κυήσεως, θεοῦται πᾶσα φύσις τρόπῳ βελτίονι.

Τῆς Ἁγίας.

Ὡς ἄνθος χόρτου ἡ πάνσεμνος, ὁρῶσα Εὐφημία ῥεόμενα πάντα τὰ γήϊνα, δίκην σκυβάλων κατέπτυσεν, ἵνα Χριστὸν κερδίσῃ ὅνπερ ἐπόθησε.

Καθεῖλες, κόρη, τὸν δράκοντα, τὸν μέγαν καὶ πολλὰ ἐπαιρόμενον, καὶ κατεβύθισας ἐν τοῖς κρουνοῖς τῶν αἱμάτων σου τὸν καθ' ἡμῶν δολίως μηχανευόμενον.

Δόξα.

Ὁρῶντες μάρτυς ὡς ἥδυσμα, ἐν μέσῳ σου τὸ λείψανον κείμενον

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠ...



τὸ ἱερώτατον, πνευματικῶς εὐωχούμεθα, ἁγιασμὸν καὶ ῥῶσιν ἀρυόμενοι.

Καὶ νῦν. Θεοτοκίον.

Ξενίζεις πάντας τῷ τόκῳ σου, Παρθένε Παναγία θεόνυμφε, ὡς πῶς ἀπείρανδρος, οὖσα πρὸ τόκου γεγέννηκας, καὶ μετὰ τόκον πάλιν ἔμεινας ἄφθορος.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον ἦχος β΄.

Ἀγῶνας ἐν ἀθλήσει, ἀγῶνας ἐν τῇ πίστει κατεβάλου θερμῶς ὑπὲρ Χριστοῦ τοῦ νυμφίου σου, ἀλλὰ καὶ νῦν ὡς τὰς αἱρέσεις καὶ τῶν ἐχθρῶν τὸ φρύαγμα ἐν τοῖς ποσὶ τῶν βασιλέων ἡμῶν ὑποταγῆναι, πρέσβευε διὰ τῆς Θεοτόκου, ἡ ὑπὸ ἑξακοσίων τριάκοντα θεοφόρων Πατέρων ὅρον λαβοῦσα καὶ φυλάττουσα πανεύφημε.

Ὁ Οἶκος.

Τί τῶν σῶν ἀθλημάτων, ἢ τί τῶν σῶν κατορθωμάτων, ἢ τί τῆς σῆς παρθενίας, ἢ τοῦ βίου τοῦ ἀμέμπτου σου θαυμάσειέ τις πρότερον; σὺ γὰρ εὔφρανας τὸν πατέρα, ὡς τῷ υἱῷ νυμφευθεῖσα, τῷ πνεύματι τῷ ἁγίῳ σαυτὴν κατακοσμήσασα· τίς ἱκανοὶ πρὸς ταῦτα; τίς λέγειν νῦν ἰσχύσειεν; ὅσαι σε περιλάμπουσιν ἀρεταὶ μὴ ὑποδύουσαι; ὡς ἐξ ἀνατολῆς γὰρ παντὶ φαίνεις καὶ ἀκτινοβολεῖς ἐν γῇ καὶ θαλάσσῃ, καὶ ἐπὶ πᾶσαν ἤπειρον ἁγιάζεις, καὶ μυρίζεις τὰ πέρατα. Διὸ τόμον πεπίστευσαι ὑπὸ ἑξακοσίων τριάκοντα Θεοφόρων Πατέρων ὅρον λαβοῦσα, καὶ φυλάττουσα Πανεύφημε.

Τῷ αὐτῷ μηνὶ ιά. Τῆς ἁγίας Μεγαλομάρτυρος καὶ Πανευφήμου Εὐφημίας.

Δίκαζε μάρτυς, καὶ τάφῳ ἐγκειμένη,
Κυροῦσα πίστιν, ἧς ἐνήθλησας πόθῳ.
Θέσκελον ἑνδεκάτῃ ὅρον ἐμπεδοῖ Εὐφημίη.

Ἡ ἁγία αὕτη καὶ πανένδοξος μεγαλομάρτυς Εὐφημία, γέννημα καὶ παίδευμα οὖσα τῆς πόλεως Χαλκηδόνος ἐξ εὐσεβῶν γονέων

καταγομένη, Φιλόφρονος καὶ Θεοδοσιανῆς ὀνομαζομένων, διέπρεψεν ἐν τῳ μαρτυρικῷ ἀγῶνι ἐπὶ τῶν Αὐτοκρατόρων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ καὶ Πρίσκου Ἀνθυπάτου τῆς Ἀσίας. Διαβληθεῖσα γὰρ τῷ ἀνθυπάτῳ τούτῳ ὡς χριστιανὴ, πυρὶ προσωμίλησε, καὶ θηρίοις ἐκδέδοται, καὶ ἑτέραις μηχαναῖς κολαστηρίων, ἅπερ γενναίως ὑπομείνασα, ἐκομίσατο τὸν τοῦ μαρτυρίου στέφανον.

Ἐν τοῖς χρόνοις δὲ τῶν εὐσεβῶν Μαρκιανοῦ καὶ Πουλχερίας, συνεκροτήθη ἡ Δ΄. Οἰκουμενικὴ ἁγία Σύνοδος τῶν ἑξακοσίων καὶ τριάκοντα θείων Πατέρων ἐν τῇ πόλει τῆς Χαλκηδόνος, ὅπου καὶ τὸ τίμιον τῆς Ἁγίας ταύτης λείψανον εὑρίσκετο. Οἵτινες τοὺς περὶ Εὐτυχέα καὶ Διόσκορον ἀναθεματίσαντες καὶ καθελόντες ὡς ἀσεβῶς μίαν φύσιν καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ βλασφημοῦντας, ἐπεὶ οὐκ ἐπείθοντο, ἑτέρως τούτους μετέρχονται. Ἐνέγραψαν δηλαδὴ τὴν ἐκτεθεῖσαν ὀρθόδοξον πίστιν τόμῳ, καὶ τοὺς αἱρετικοὺς προέτρεψαν ἐν ἑτέρῳ γράψαι, τὸ ἑαυτῶν φρόνημα, καὶ διανοίξαντες τὴν λάρνακα τῆς πανευφήμου Εὐφημίας, ἔθεντο ἐπὶ τοῦ αὐτῆς στήθους ἀμφοτέρους τοὺς τόμους ἐσφραγισμένους. Μετὰ δὲ ταῦτα παραγενόμενοι καὶ ἀνοίξαντες αὐτὴν, τὸν μὲν τόμον τῶν αἱρετικῶν εὗρον ἐρριμένον ὑπὸ τοὺς πόδας τῆς Ἁγίας, τὸνδὲ τῶν ὀρθοδόξων τόμον κατεχόμενον ταῖς τιμίαις χερσὶ τῆς Μεγαλομάρτυρος· ὅπερ ἰδόντες, οἱ αἱρετικοὶ μὲν αἰσχύνης, οἱ δὲ ὀρθόδοξοι χαρᾶς ἐνεπλήσθησαν.

Σώζεται δὲ νῦν τὸ πανέντιμον καὶ ἱερὸν αὐτῆς λείψανον ἀκέραιον ἐν τῷ Πατριαρχικῷ τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας ναῷ, πηγὰς χαρίτων ἀναβρύον καὶ πάσης νόσου ἰατρεῦον τοὺς ἐν πίστει καὶ πόθῳ προστρέχοντας εἰς τὴν βοήθειαν αὐτοῦ. Ταῖς Αὐτῆς πρεσβείαις, Χριστὲ ὁ Θεὸς, διαφύλαττε ἡμᾶς ἀπὸ πάσης ἐπηρείας τοῦ πονηροῦ, καὶ ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα· ἀλλὰ



„ πυρὸς ἀπειλὴν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον. Ὑπε-
„ ρύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Τροπάριον.

Ὑπερίπταται, τὸ ξένον τῆς λοχείας σου, πᾶσαν διάνοιαν· σωματικῶς γὰρ γραφεὶς, ὁ φύσει ἀπρόσιτος καὶ ἀπερίγραπτος, καθυπέγραψε, βίβλῳ ζωῆς τοὺς δούλους σου, Παναγία Θεοτόκε.

Ρητορεύσεις, προφητόφθεγκτοι πεπλήρωνται, ἐν σοὶ Θεόνυμφε· τὸν γὰρ κοσμήτορα σὺ, τοῦ κόσμου γεννήσασα, πάντας ἐκόσμησας, καὶ ἐφώτισας, εὐλογημένη Πάναγνε, τῶν βροτῶν ἡ σωτηρία.

Ισοδύναμον, Πατρί τε καὶ τῷ Πνεύματι Λόγον ἐκύησας, τὸν ἐν δυσὶν ἀγαθὴ, οὐσίαις ὑπάρξαντα, μίαν ὑπόστασιν· ὑπερύμνητε, εὐλογημένη Δέσποινα τῶν βροτῶν ἡ σωτηρία.

Τῆς Ἁγίας.

Ρᾷον ἔφερες βασάνων τὴν δριμύτητα, μάρτυς πανεύφημε, ἐν στερρωτάτῳ νοΐ, ἐξ ὕψους λαμβάνουσα θείαν βοήθειαν. Ὅθεν ἔψαλλες, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Η πανεύφημος ἀμνὰς καὶ καλλιπάρθενος, πάντας ἐκάλεσε πρὸς εὐωχίαν αὐτῆς, διὸ καὶ εὐφράνθητε πανηγυρίζοντες, καὶ κραυγάσατε· ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Δόξα.

Σὺ διήλεγξας τοῦ Εὐτυχοῦς τὴν ἄνοιαν, τοῦ δυστυχήσαντος περὶ τὸ σέβας κακῶς, δεινοῦ Διοσκόρου τε, μάρτυς πανεύφημε, ἀναμέλπουσα, ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Καὶ νῦν. Θεοτοκίον.

Ιλεών μοι τὸν υἱόν σου Παναμώμητε, ποίησον δέομαι καὶ μὴ παρίδῃς σεμνὴ, δεήσεις καὶ δάκρυα θερμῶς προχέοντα, καὶ κραυγάζοντα· ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς εὐλογητός εἶ.

Καταβασία. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ὠδὴ η΄.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο

,, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅ-
,, πασαν, ἐγείρει ψάλλειν σοι, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ
,, ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τροπάριον.

Θεῖος θησαυρὸς πάσης ἁγνείας, καὶ σκήνωμα παρθενίας θεοχάρακτον, ὤφθης θεονύμφευτε· κρίνον εὐωδέστατον, τοῦ φυτουργοῦ τῆς κτίσεως καὶ θεῖον τέμενος· διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἔφερες τὸ πῦρ ὥσπερ ἡ βάτος, ἐν μήτρα ἀφλέκτως τῆς θεότητος, λύουσα πανάμωμε, Εὔας τὴν ἀπότισιν, καὶ ὀφειλὴν πανύμνητε, τῷ θείῳ τόκῳ σου· διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὅλον με ἀνείληφεν ἀῤῥεύστως, ἀτρέπτως καὶ ἀσυγχήτως καθ' ὑπόστασιν, Λόγος ὁ παντέλειος, ὅλον με ἐθέωσε, τῇ συναφείᾳ Δέσποινα, ὅλως τῇ κρείττονι· διό σε τὴν παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Ἁγίας.

Ἔστης πρὸ βημάτων Εὐφημία, τυράννων παρανομούντων, ἀνδρικώτατα τὸν Χριστὸν κηρύττουσα, Θεόν τε καὶ ἄνθρωπον, διπλοῦν ὄντα ταῖς φύσεσι καὶ ταῖς θελήσεσι, καὶ ἔκραζες· ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὕλην γεηρὰν ἀπεποιήσω, τὸν ἄνω ἐπιποθήσασα νυμφίον σου, οὗτινος τοῖς ἴχνεσι μάρτυς ἠκολούθησας. Διὸ καὶ συναγάλλῃ πρὸς αὐτὸν κραυγάζουσα· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Δόξα.

Φρίττω κατὰ νοῦν ἀναλαμβάνων, τοὺς πόνους σου τοὺς δεινοὺς καὶ τὰ παλαίσματα, οἷς ἐνεκαρτέρησας, γυναικείῳ σώματι διὰ πολλὴν ἀγάπησιν, μάρτυς πανεύφημε, Πατρός τε καὶ Υἱοῦ, καὶ τοῦ θείου Πνεύματος τοῦ μόνου Θεοῦ τρισυποστάτου.



Καὶ νῦν. Θεοτοκίον.

Ὅρμος γαληνὸς μόνη ἐδείχθης, Παρθένε χειμαζομένων καὶ προσφύγιον, ἔνθα καταφεύγοντες οἱ κλυδωνιζόμενοι, ἐν τῷ τοῦ βίου κλύδωνι, περισωζόμεθα, διό σε κατὰ χρέος ὑμνοῦμεν καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Παῖδας εὐαγεῖς.

Ὠδὴ θ'.

Ἅπας γηγενὴς, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος· πα-
,, νηγυριζέτω δὲ, ἀΰλων νόων φύσις γεραίρουσα, τὴν ἱερὰν πανή-
,, γυριν, τῆς Θεομήτορος, καὶ βοάτω. Χαίροις παμμακάριστε, Θεο-
,, τόκε ἁγνὴ ἀειπάρθενε.

Τροπάριον.

Ἅρμα φωτεινὸν, τοῦ Λόγου ὑπάρχουσα· ἅρμα πυρίμορφον· ἅρμα πολυώνυμον, ἀΰλων θρόνων ἅρμα ἀσύγκριτον, τοῦ θεϊκοῦ στηρίγματος, ἅρμα χρυσόπλοκον, τοῦ υἱοῦ σου, ἅρμα με ἀνάδειξον, ἀπαθείᾳ νοὸς Θεονύμφευτε.

Νέον οὐρανὸν, ὁ πάντων ἐπέκεινα σὲ κατεσκεύασεν, οὐρανῶν ἀνώτερον, καὶ πάσας πόλου δυνάμεις ἔλαθε, καὶ κατελθὼν ἐνῴκισεν, ὅλος ἐν μήτρᾳ σου, ἀποῤῥήτως, μὴ ἐκστὰς Θεόνυμφε, τῆς πατρῴας μονῆς ἢ τῆς φύσεως.

Ἥλιος φαιδρὸς, ἐφίλησε Δέσποινα σοῦ τὸ ἀμόλυντον, καὶ κατενυμφεύσατο, ἀῤῥήτῳ λόγῳ εἰς ἀναζώωσιν, τῆς τεθνηκυίας φύσεως· ὅθεν ἐκ πόθου σε, εὐφημοῦμεν, πίστει καὶ γεραίρομεν, θεϊκῆς ὡς αἰτίαν μεθέξεως.

Τῆς Ἁγίας.

Νοῦς οὐκ ἐξαρκεῖ, καὶ λόγος ἀνθρώπινος ἐκδιηγήσασθαι, τὰς ὑπερφυεῖς τιμὰς, καὶ δόξας, μάρτυς ἅς περ ἀπείληφας, ἀεὶ συμβασιλεύουσα Χριστῷ τῷ κτίστῃ σου, καὶ τὰ γέρα τῶν κατορθωμάτων σου παρ' αὐτοῦ δεχομένη, πολύαθλε.

Μύρῳ νοητῷ, ἐχρίσθης πανεύφημε τοῦ θείου πνεύματος, καὶ μύ-

ρίζεις πάντοτε τῶν προσιώντων σοι μετὰ πίστεως, ψυχὰς ὁμοῦ καὶ σώματα, καὶ πᾶσαν αἴσθησιν, δι' ἧς πόῤῥω ἀποσκορακίζεται ὁ δυσώδης ἐχθρὸς, καὶ παμπόνηρος.

Ἱεροπρεπῶς, τὴν σὴν ἀξιάγαστον πανηγυρίζομεν, καὶ φαιδρὰν πανήγυριν, ἐν τῷ πανσέπτῳ ναῷ σου σήμερον, ἐν ᾧπερ συνηθροίσθημεν χειραγωγίᾳ πολλοὶ, τοῦ ποιμένος τοῦ καλοῦ, πανεύφημε, ὑπὲρ οὗ ἐκδυσωπεῖ τὸν Κύριον.

Δόξα.

Ἄναρχε Τριὰς, τοὺς θεολογοῦντάς σε σκέπε καὶ φύλαττε, ἔχεις γὰρ πρεσβεύουσαν περὶ τὴν δόξαν τῆς σῆς λαμπρότητος, μετὰ μαρτύρων πάντοτε, τὴν καλλιπάρθενον Εὐφημίαν, ἧς περ τὰ μνημόσυνα ἐκτελοῦντες πιστῶς εὐφραινόμεθα.

Καὶ νῦν. Θεοτοκίον.

Φωνήν σοι ἁγνὴ, προσάγομεν δέσποινα πόθῳ βοῶντές σοι, χαῖρε θρόνε πύρινε, ὑψίστου χαῖρε Θεοῦ παλάτιον, ὃ ὁ Δαβὶδ προέγραψεν ὄρος πιώτατον, Ἀποστόλων χαῖρε ἡ εὐπρέπεια, καὶ ἡμῶν τῶν ψυχῶν τὸ διάσωσμα.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ.

Ἐπεσκέψατο ἡμᾶς ἐξ ὕψους.

Καὶ θανοῦσα ζωηρὸν, αἱμάτων μῦρον ἔβλυσας, ὡς ἐν Θεῷ ζῶντι ζῶσα, καὶ τῶν δογμάτων τοῦ Χριστοῦ τὰς πλάκας ταῖς ἀγκάλαις σου Εὐφημία κατέχεις, διὸ εὐφημοῦμέν σε.

Θεοτοκίον ὅμοιον.

Ὁ Θεὸς ἡμῶν ἁγνὴ, καταφυγὴν καὶ δύναμιν, καὶ βοηθόν σε παρέσχεν ἐν ταῖς θλίψεσιν ἡμῶν, καὶ ἐν ταῖς περιστάσεσι, πάντας οὖν ἡμᾶς ῥῦσαι ἐκ τῶν ἀναγκῶν ἡμῶν.



Εἰς τοὺς Αἴνους. Ἦχος πλ. ά.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις παρθενομάρτυς Χριστοῦ, ἡ ἐξ ἑώας ὡς ἀστὴρ ἀνατείλασα, καὶ πᾶσαν τὴν Οἰκουμένην φωταγωγοῦσα φαιδρῶς, ψυχῆς διαυγείᾳ, καὶ φαιδρότητι· δι' ἧς θεῖον θέσπισμα, τῶν πατέρων κεκύρωται, καὶ κατηργήθη Εὐτυχοῦς γλῶσσα βλάσφημος, Διοσκόρου τε, τοῦ δεινοῦ καὶ παράφρονος. χαίροις ἡ ἀποστάζουσα κρουνοὺς τῶν αἱμάτων σου, καθαρτικοὺς μολυσμάτων ἐκ τῶν ἁγίων λειψάνων σου, Χριστοῦ τῇ δυνάμει, τοῦ παρέχοντος τῷ κόσμῳ τὸ μέγα ἔλεος. Δίς.

Δεῦτε τῆς ἀθληφόρου Χριστοῦ, μετ' ἐγκωμίων τελουμένην πανήγυριν, ὁρῶντες συνευφρανθῶμεν πνευματικῶς ἐν χαρᾷ, καὶ πανευφροσύνως ἑορτάσωμεν. Αὐτὴ γὰρ κατέβαλε, τὸ ἀγέρωχον φρόνημα, τῶν τυραννούντων, τῇ δυνάμει τοῦ Πνεύματος· ὅθεν ἤρατο κατ' αὐτῶν μέγα τρόπαιον· ταύτην οὖν εὐφημήσωμεν, εὐφήμοις ἐν ᾄσμασι τὴν καλλιπάρθενον κόρην, τὴν εὐφημίας ἐπώνυμον, Χριστὸν δυσωποῦσαν, ὡς δωρήσασθαι τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ὅρους παραλαβοῦσα, σεμνὴ, ἔνδον τοῦ τάφου εὐσεβῶν κακοδόξων τε, ἠσπάσω μὲν ταῖς χερσί σου, ὃν οἱ πατέρες καλῶς, ἄνωθεν πνευσθέντες συνεξέθεντο, τὸν δὲ κατεπάτησας, ὡς ψευδῆ καὶ ἀντίθεον, τῶν κακοδόξων, οὓς εἰς τέλος κατήσχυνας, ὅθεν ἅπαντες εὐσεβῶς εὐφημοῦμεν σε, χαίροντες ἐν τῇ μνήμῃ σου, οὓς, μάρτυς, ὁ πρόεδρος τῶν ὀρθοδόξων ποιμένων, ἐπισυνήγαγε σήμερον, Χριστὸν ἱκετεύων διὰ σοῦ δοθῆναι πᾶσι τὸ μέγα ἔλεος.

Δόξα ἦχος πλ. δ'.

Πᾶσα γλῶσσα κινείσθω πρὸς εὐφημίαν, τῆς πανευφήμου Εὐφημίας, ἅπαν γένος καὶ ἡλικία πᾶσα, νεανίσκοι καὶ παρθένοι τὴν Χριστοῦ παρθενομάρτυρα ἐγκωμίοις καταστέψωμεν. Νομίμως γὰρ ἀνδρισαμένη, καὶ τὸ χαῦνον τοῦ θήλεος ἀποῤῥίψασα δι' ἀθλητικῶν πόνων τὸν τύραννον ἐχθρὸν καταβέβληκεν, οὐρανίῳ δὲ καὶ θείῳ



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

στέψει κοσμηθεῖσα, αἰτεῖται τὸν νυμφίον καὶ Θεόν, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος. Καὶ νῦν. Θεοτοκίον.

**Δ**έσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης, καὶ θλίψεως.

Δοξολογία μεγάλη.

Εἰς τὴν Λειτουργίαν, Τυπικά. Καὶ ἀπὸ τοῦ Κανόνος τῆς Ἁγίας, Ὠδὴ γ΄. καὶ ϛ΄.

Ὁ Ἀπόστολος. Προκείμενον ἦχος δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Κορινθίους β΄. Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

**Ἀ**δελφοί, συνεργοῦντες παρακαλοῦμεν μὴ εἰς κενὸν τὴν χάριν τοῦ Θεοῦ δέξασθαι ὑμᾶς. Λέγει γάρ· καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν ἡμέρα σωτηρίας. Μηδεμίαν ἐν μηδενὶ διδόντες προσκοπήν, ἵνα μὴ μωμηθῇ ἡ διακονία· ἀλλ' ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν Πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ· διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν· διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας· ὡς πλάνοι, καὶ ἀληθεῖς, ὡς ἀγνοούμενοι, καὶ ἐπιγινωσκόμενοι, ὡς ἀποθνήσκοντες, καὶ ἰδοὺ ζῶμεν· ὡς παιδευόμενοι, καὶ μὴ θανατούμενοι· ὡς λυπούμενοι, ἀεὶ δὲ χαίροντες· ὡς πτωχοί, πολλοὺς δὲ πλουτίζοντες· ὡς μηδὲν ἔχοντες, καὶ πάντα κατέχοντες.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν.

**Τ**ῷ καιρῷ ἐκείνῳ, ἠρώτα τις τῶν Φαρισσαίων τὸν Ἰησοῦν, ἵνα φάγῃ μετ' αὐτοῦ. • Ζήτει τῇ Δευτέρᾳ τῆς Δ΄. ἑβδομ.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.



Μεγαλυνάρια εἰς τὴν Ἁγίαν καὶ Πανεύφημον Εὐφημίαν.

Ἦχος πλ. δ΄. Τὴν τιμιωτέραν τῶν Χερουβείμ.

**Χ**αίροις Εὐφημία πανευκλεής. Χαίροις Ὀρθοδόξων, ἀπροσμάχητος βοηθός. Χαίροις τῶν Πατέρων, στηρίξασα τοὺς ὅρους, καὶ τὴν φλόγα τὴν τῆς αἱρέσεως σβέσασα.

**Ε**ὐφημία ἔνδοξε τὸ σεπτόν, κλέος ὀρθοδόξων, καὶ μαρτύρων ἡ καλλονή, τὸ θεῖόν σου σκῆνος, τιμῶντες προσκυνοῦμεν, καὶ πάντες μετὰ πόθου κατασπαζόμεθα.

**Μ**άρτυς καλλιπάρθενε τοῦ Χριστοῦ, νύμφη Εὐφημία, εὐφημοῦντές σε εὐλαβῶς, τιμῶμεν τὴν θείαν λάρνακα σῶν λειψάνων, καὶ ταύτην μετὰ πόθου κατασπαζόμεθα.

Ἕτερα εἰς ἦχον β΄. ψαλλόμενα μετὰ τό, Ἐξαιρέτως, καὶ ὅτε οἱ πιστοὶ ἀσπάζονται τὸ ἅγιον αὐτῆς λείψανον.

Τὸν οὐρανοφάντορα τοῦ Χριστοῦ.

**Δ**εῦτε τὴν φυλάξασαν τὸν σεπτόν, ὅρον τῶν Πατέρων, τὴν λαμπάδα τὴν φαεινήν, νύμφην τοῦ Δεσπότου, καὶ ἄσπιλον ἀμνάδα, τὴν θείαν Εὐφημίαν, ὕμνοις τιμήσωμεν.

**Δ**εῦτε τὴν πανεύφημον καὶ σεπτήν, πάντες Εὐφημίαν, τὴν φυλάττουσαν τὰ σεπτά, δόγματα τὰ θεῖα, Πατέρων Θεοφόρων, λαμπρῶς ἀνευφημοῦντες, ὕμνοις τιμήσωμεν.

**Δ**εῦτε πανευφήμως καὶ εὐλαβῶς, ὕμνοις πανευφήμοις, εὐφημήσωμεν τὴν σεπτήν, ἁγνὴν Εὐφημίαν, ὅτι τῶν κακοδόξων, τὴν δόξαν καθελοῦσα, πίστιν ἐκράτυνεν.

**Τ**ὴν παρθενομάρτυρα, τὸ σεπτόν, κλέος τῶν παρθένων, τὴν κρηπῖδα τὴν ἄρραγῆ, τῶν θείων δογμάτων, τῆς τριφεγγοῦς οὐσίας, πιστῶς τὴν Εὐφημίαν, πάντες τιμήσωμεν.

## ΑΝΕΚΔΟΤΟΙ ΚΑΝΟΝΕΣ.

### Εἰς τὴν Ἁγίαν Μεγαλομάρτυρα ΕΥΦΗΜΙΑΝ.

Κανὼν ά. Ἦχος πλ. β'. Οὗ ἡ ἀκροστιχίς.

Ὕμνοις γεραίρω τὴν Πανεύφημον Κόρην Ἰωσήφ.

Ὠδὴ ά. Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Ὑμνολογίαις σε θείαις ἀνευφημεῖν, εὐσεβῶς ὁρμήσαντα, ταῖς σαυτῆς μαρμαρυγαῖς, ὅλον με καταύγασον, σεμνή, δυσωποῦσα Ἰησοῦν τὸν ὑπεράγαθον.

Μεμυημένη τὰ θεῖα οἷα Χαστοῦ, νύμφη ἀδιάφθορος, κατεπάλαισας στεῤῥῶς, δυσμενῆ ἀόρατον, σεμνή, ὁρωμέναις συμπλοκαῖς, μάρτυς πανεύφημε.

Νόμοις τῆς φύσεως τάφῳ περιφανῶς, τεθειμένη ὅρον σοι, δεδομένον συντηρεῖς, ὀρθοδόξου πίστεως καλῶς, ὡς σφραγὶς τῶν ἱερῶν δογμάτων ἔνδοξε.

Θεοτοκίον.

Ὁ συναΐδιος Λόγος τῆς πατρικῆς, δόξης σεσωμάτωται, ἐξ ἀχράντου σου γαστρός, ἐν δυσὶ ταῖς φύσεσιν ἁγνή, καὶ θελήσεσιν ὀφθεὶς τέλειος ἄνθρωπος.

Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Ἰσχύϊ μάρτυς τοῦ Χριστοῦ, νευρουμένη τὸ σῶμα, πρὸς βασάνους ποικίλας παραδέδωκας, ἐχθρὸν συντρίψασα τῇ πολλῇ καρτερίᾳ· ὅθεν εὐφημοῦμέν σε.

Στεῤῥῶς ὑπέμεινας σεμνή, εἰς τροχὸν ἐμβληθεῖσα, καὶ οὐδόλως τὸ σῶμα συνετρίβης ἀληθῶς, ἀγγέλου σε τῆς πικρᾶς τιμωρίας, μάρτυς διασώσαντος.

Γραφέντα τόμον ἐν χερσί, σαῖς ἁγίαις τεθέντα, ἠγκαλίσω θεόφρον, συντηροῦσα τῶν ὀρθῶν δογμάτων τὸ τηλαυγές, κακοδόξους πάντας δὲ αἰσχύνουσα.



Θεοτοκίον.

Ἐκ τῶν ἀχράντων σου ἁγνή, καὶ τιμίων αἱμάτων, σαρκωθεὶς ἀποῤῥήτως, ὁ Λόγος ὁ τοῦ Θεοῦ, ἀνέδειξεν ὡς Θεός, τῶν κτισμάτων σε ἁπάντων Δέσποιναν.

Ὠδὴ δ'. Χριστός μου δύναμις, Θεὸς καὶ Κύριος.

Ῥοαῖς αἱμάτων σου, τῆς πλάνης ἄνθρακας, ἐναπέσβεσας κόρη· ὅθεν ἡμῖν, μῦρα θείας χάριτος, καὶ ἰαμάτων ποταμούς, ἀναβλύζεις, καλλιπάρθενε.

Ἀνδρείως ἤνεγκας, σαρκὸς πανεύφημε, ἀνυποίστους βασάνους τὸ τῆς φθορᾶς, πάχος καὶ νεκρώσεως, ἐκδυσαμένη καὶ στολὴν δεχομένη ἀδιάφθορον.

Ἰάσεις βρύουσα, ἐκπλύνεις πάντοτε, νοσημάτων τὸν ῥύπον ὡς τοῦ Χριστοῦ, νύμφη ἀδιάφθορος. Ὅθεν εὐφήμοις σε φωναῖς, κατὰ χρέος μακαρίζομεν·

Ῥᾳδίως εὕρατο, Πατέρων σύλλογος, τὸ ζιτούμενον μάρτυς τὸν ἱερόν, τόμον θεωρήσας σε, ἠγκαλισμένην εἰς πολλῶν, στηριγμόν τε καὶ βεβαίωσιν.

Θεοτοκίον.

Ὡς πύλη πάμφωτος, ἐδέξω πάναγνε, ὑπὲρ νοῦν τε καὶ λόγον υἱὸν Θεοῦ, ἄνθρωπον γενόμενον καὶ ἐνεργείαις φυσικαῖς καὶ θελήσεσιν.

Ὠδὴ έ. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Τοὺς ῥαβδισμοὺς ἤνεγκας στεῤῥῶς, ῥάβδῳ τοῦ Σταυροῦ ὡς ἀληθῶς, στηριζομένη, πανεύφημε, καὶ τοὺς καθορῶντας πάντας ἐκπλήττουσα, καὶ τὰ τῶν ἐναντίων φράττουσα στόματα.

Ἡγιασμένην σχοῦσα ψυχήν, καὶ πρὸ τῆς ἀθλήσεως, σεμνή, νῦν μυροθήκη τοῦ Πνεύματος ὤφθης, Εὐφημία, μῦρα τῆς χάριτος πηγάζουσα, καὶ κόσμον εὐωδιάζουσα.

Νεκροῖς ξοάνοις καὶ βδελυκτοῖς, σέβας οὐ προσήνεγκας· διὸ νεκρὰ κειμένη πεπίστευσαι, τόμον γεγραμμένον ζωῆς τὰ δόγματα, καὶ τοῦτον ἠγκαλίσω ἐχθροὺς αἰσχύνουσα.

…ΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Θεοτοκίον.

Πατρὸς τὸν σύνθρονον ὑπὲρ νοῦν, τέτοκας πανύμνητε ἁγνή, δυσὶν οὐσίαις καὶ φύσεσι, καὶ ταῖς ἐνεργείαις κατανοούμενον· ὃν πάντοτε δυσώπει σῶσαι τοὺς δούλους σου.

Ὠδὴ ϛ΄. Τοῦ βίου τὴν θάλασσαν.

Ἀμίαντος ἄφθορος, καθηρμόσθης τῷ Θεῷ, καθάπερ προῖκα ἔνδοξε, προσαγαγοῦσα τούτῳ τὰ ἱερά, τοῦ σώματος στίγματα, δι' ὧν ὅλη ὡραία ἐχρημάτισας.

Νομίμως ἐνήθλησας, πρηστηρίοις ἀνδρικῶς, ὀργάνοις ὁμιλήσασα, καὶ θεϊκῇ δυνάμει, μάρτυς Χριστοῦ, ἀσάλευτος μείνασα· διὰ τοῦτό σε πόθῳ μακαρίζομεν.

Ἐχθροὶ καταισχύνονται, καθορῶντές σε σεμνή, τῆς ὀρθοδόξου πίστεως, ἠγκαλισμένην ὅρον θεοπρεπῶς, καὶ πάντων εὐφραίνονται, ὀρθοδόξων τὰ πλήθη εὐφημοῦντά σε.

Θεοτοκίον.

Ὑμνοῦμέν σε ἄχραντε, δι' ἧς δέδοται χαρά, καὶ λύπη ἐξωστράκισται, καὶ ἀφθαρσία ἤνθησε καὶ ζωή, καὶ φῶς ἐθεάσαντο, οἱ ἐν σκότει τῆς πλάνης καθεζόμενοι.

Τὸ Κοντάκιον. Ζήτει σελ. 15

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Φλεγομένη θείῳ ἔρωτι πανεύφημε, εἰς πῦρ ἐβλήθης χαίρουσα· θείᾳ δρόσῳ δὲ ἀβλαβὴς διέμεινας, Χριστῷ τῷ πάντων βοῶσα ποιητῇ. Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἡλιόμορφος ὡράθης μάρτυς ἔνδοξε, μέσον τηγάνου βράζοντος ἀκοντισθεῖσα· τοῦ φωτὸς γὰρ ἄγγελος εἰς σὴν ἐστάλη βοήθειαν, διὸ οἱ σκοτεινοὶ περὶ τὸ φῶς ὁρῶντες ἔφριττον.

Μακαρίως τὸν ἀγῶνα διανύσασα, νυμφῶνα πρὸς οὐράνιον κατεσκήνωσας, νυμφικῶς χορεύουσα ἀεί, καὶ μέλπουσα πάντοτε Χριστῷ. Εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν πατέρων ἡμῶν.

Ὅρον πίστεως δοθέντα σοι ἐφύλαξας, πανεύφημε κρατύνουσα, ὀρ-



θοδόξων μὲν τὰ σεπτὰ διδάγματα καλῶς, αἰσχύνης πληροῦσα δὲ ἐχθρούς, κακοδοξοῦντας καὶ Χριστοῦ φύσεις συγχέοντας.

Θεοτοκίον.

Νόμοι φύσεως ἐν σοὶ Θεοχαρίτωτε, ὡς ἀληθῶς καινίζονται· καὶ γὰρ τέτοκας νομοδότην ὄντως καὶ Θεόν, διπλαῖς ἐνεργείαις φυσικαῖς, ἐν ὑποστάσει δὲ μιᾷ κατανοούμενον.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας.

Κρατηθεῖσα τῷ θείῳ πνεύματι ἔνδοξε, εἰς θηρία ἐβλήθης, ἄνω τὸ ὄμμα σου ἔχουσα σαφῶς τῆς καρδίας θεόνυμφε, καὶ συντηρουμένη ἀπήμαντος θεόφρον.

Οἱ τοῦ σκότους προστάται ἀεὶ τυφλώττοντες, οὐδαμῶς θαυμασίοις τοῖς σοῖς ἐπίστευσαν· ἀλλὰ καυστικῷ συνωθοῦντες ὀργάνῳ σε, ἔνδοξε ἡττῶντο, πληρούμενοι αἰσχύνης.

Ῥητορεῦον οὐδόλως στόμα δυνήσεται, ἐξειπεῖν ἀθληφόρε τὰ σὰ θαυμάσια. Ὅρον γὰρ χειρὸς τῶν πατέρων ἀπείληφας, καὶ τῆς εὐσεβείας ἐκράτυνας τὸ δόγμα.

Τριαδικόν.

Ἡ τρισήλιος δόξα, Πάτερ ἀγέννητε, καὶ Υἱὲ καὶ τὸ Πνεῦμα τὸ ὑπερούσιον, ἄναρχε Θεὲ τρισυπόστατε Κύριε, σώζοις τὸν λαόν σου, τὸν φόβῳ σε ὑμνοῦντα.

Θεοτοκίον

Νοερῶς σε λυχνίαν Προφήτης ἔβλεψε, τὸ λαμπάδιον κόρη Χριστὸν κατέχουσαν, κόσμον θεϊκῇ ἐπιγνώσει φωτίζοντα, καὶ τῆς ἀσεβείας τὸ σκότος ἐκμειοῦντα.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Ἰσχὺν καὶ κράτος τοῦ πολεμήτορος, ἀφ' οὗ Χριστὸς παρθένου γεννηθεὶς καταβέβληκε, καταπαίζουσι τούτου νεάνιδες κόραι, βασάνων πόνοις προσομιλήσασαι, καὶ τοῦ παραδείσου τῆς τρυφῆς ἔνδον χορεύουσαι.

Ὡς φῶς, ὡς μέγας ὡράθης ἥλιος, μαρμαρυγαῖς ἀγώνων καὶ

θαυμάτων πανεύφημε, τὸ τοῦ κόσμου πλήρωμα φωτίζουσα. Ὅθεν τὸ τῶν ἀνθρώπων γένος δοξάζει σε, καὶ χαρμονικῶς ἐπιτελεῖ τὴν θείαν μνήμην σου.

Στρατὸς ἀγγέλων σοῦ προηγήσατο, τῆς ἱερᾶς ψυχῆς ἐπανιούσης πρὸς Κύριον· στεφοδότης Χριστὸς δὲ στεφάνοις σε ἔστεψεν, ἀφθαρσίας, μάρτυς πανεύφημε, ὃν διὰ παντὸς, ὑπὲρ ἡμῶν δυσώπει ἔνδοξε.

Ἡ σὴ πανίερος ἑορτὴ, σήμερον πᾶσαν ὁμοῦ τὴν κτίσιν συγκαλεῖ ἀνυμνῆσαί σου, τοὺς ἀγῶνας, τὰ θεῖα τεράστια· πᾶσιν οὖν δωρηθῆναι χάριν καὶ ἔλεος, καὶ ἁμαρτημάτων ἱλασμὸν δυσώπει πάντοτε.

Θεοτοκίον.

Φωτὸς δοχεῖον Θεοχαρίτωτε, τοὺς ὀφθαλμοὺς βοῶ σοι τῆς καρδίας μου φώτισον, σκοτασμὸν τῶν παθῶν ἐκδιώκουσα, ὅπως σε μακαρίζω, ὅπως δοξάζω σε, πάντων προστασία, τῶν πιστῶς ὑμνολογούντων σε.

Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς συνέλθωμεν.

Ὅρον χερσὶ πανεύφημε, θεοφόρων Πατέρων, ἑξακοσίων ἅμα δὲ καὶ τριάκοντα, μάρτυς, λαβοῦσα, τοῦτον φυλάττεις ἄτρωτον εἰς αἰῶνας· τῷ θείῳ δέ σου αἵματι τοὺς πιστοὺς ἁγιάζεις, νύμφη Χριστοῦ Εὐφημία· ὅθεν σε εὐφημοῦμεν φαιδρῶς, πανηγυρίζοντες τὴν φωσφόρον σου μνήμην.

Θεοτοκίον ὅμοιον.

Νεᾶνις ἡ πανεύφημος Εὐφημία τρωθεῖσα, τῷ γλυκυτάτῳ ἔρωτι τοῦ υἱοῦ σου, Παρθένε, ὀπίσω σου ἀπηνέχθη, νυμφικῶς τούτου τῷ κάλλει τῆς παρθενίας λάμπουσα καὶ σεπτῆς μαρτυρίας· μεθ' ἧς Ἁγνὴ, σκέπε, φρούρει φύλαττε, σκέπε πάντας τοὺς εὐσεβῶς ὑμνοῦντάς σε, Θεοτόκον κυρίως.



## ΚΑΝΩΝ Β'.

Ποίημα Ἀνδρέου. Ἦχος δ'.

Ὠδὴ ά. Ἅρματα Φαραὼ, καὶ τὴν δύναμιν.

Σήμερον πιστοὶ, ἑορτάσωμεν φαιδρῶς· πάντας γὰρ προτρέπεται τῆς Πανευφήμου ἡ μνήμη, ἣν πνευματικῶς τοῖς ᾄσμασι πανηγυρίσαι συνδράμωμεν.

Στάδιον φοβερὸν διανύσασα, σεμνὴ, τὸν δόλιον ᾔσχυνας, τοῖς αἰκισμοῖς ἐναθλοῦσα· θῆρες γὰρ ἐν σοὶ τεθήπασι, καὶ τῶν ἐχθρῶν κατεσβέσθη τὸ πῦρ.

Σήμερον ἀληθῶς, θαῦμα βλέπομεν ἐν σοὶ, βλύζουσαν, πανεύφημε, τὴν τῶν λειψάνων σου θήκην αἵματι, δι' ὧν τὰ δόγματα τῆς ἀληθείας κρατύνεται.

Σήμερον ἡ σορὸς, ὥσπερ νέα κιβωτὸς δείκνυται τῆς μάρτυρος, οὐ τὸν γραπτὸν ἡμῖν νόμον, ἀλλὰ τὸν τῆς θείας χάριτος πνευματικῶς προσκομίζουσα.

Σήμερον οἱ λαοὶ, τῶν λειψάνων τῇ σορῷ πίστει Παριστάμενοι, τῶν ἰαμάτων τὴν χάριν ὥσπερ ἐκ πηγῆς, πανεύφημε, εἰλικρινῶς ἀρυόμεθα.

Σήμερον νοητῶς, ὥσπερ ἐν ἄλλῃ Ἐρυθρᾷ, Αἴγυπτος βυθίζεται, καὶ τὸ Αἰγύπτιον δόγμα, ἥτις ἐρυθρὰ τοῖς αἵμασι τῆς Πανευφήμου παρείκασται.

Δόγματα ἀληθῆ ὥσπερ φύλαξ ἀληθῶς ἐδέξω, Πανεύφημε, τῶν διδασκάλων τὸν ὅρον, ἄσυλον αὐτὸν φυλάξασα, εὐφραινομένων τῷ πνεύματι.

Τριαδικόν.

Ἄχρονος ὁ Πατὴρ, ἀγέννητος ἀεί. Ὁ Λόγος συνάναρχος, καὶ γεννητὸς, ἐκ Πατρὸς γάρ. Ἄκτιστον τὸ θεῖον Πνεῦμα τὸ ζῶν, ἐκπορευτὸν γὰρ ἀεὶ ἐκ πατρός.

Θεοτοκίον.

Τέτοκας Υἱὸν, τὸν συνάναρχον Πατρὶ, ἀφράστως κυήσασα τὸν

ἀπερίγραπτον λόγον, ὃν τὰ Χερουβὶμ ἀπαύστως ὑμνεῖ ἐν σοί, Παρθένε φερόμενον.

Ὠδὴ β΄. Πρόσεχε οὐρανὲ, καὶ λαλήσω.

Ἅπαντες οἱ πιστοὶ, σήμερον συνελθόντες, τῆς πανευφήμου τὴν μνήμην τιμήσωμεν.

Βασάνων καταφρονήσασα, μάρτυς, ἐν τῷ σταδίῳ Χριστὸν ὡμολόγησας.

Πηγάζεις τῶν ἰαμάτων τὴν χάριν, ὡς ἐκ πηγῆς ἀειῤῥύτου, πανεύφημε.

Κατέφλεξας τῷ πυρὶ τῆς ἀγάπης, τὰς φρυγανώδεις αἱρέσεις πανεύφημε.

Σήμερον τῶν δογμάτων τὸν ὅρον, ἐν ταῖς χερσὶν ἡ πανεύφημος δέχεται.

Ὡς φύλαξ τῶν ὀρθοδόξων δογμάτων, ἡ καλλιπάρθενος τὸν ὅρον ἐδέξατο.

Τὸν τόμον ἐν ταῖς ἀγκάλαις λαβοῦσα, ἡ νομοφύλαξ κατέχει τῆς πίστεως.

Ἔδειξας ὡς πανεύφημος σέβας, ὡς καὶ θανοῦσα ἀθλεῖς μέχρις αἵματος. Θεοτοκίον.

Ἄχραντε Θεοτόκε Παρθένε, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα ἱκέτευε.

Ὠδὴ γ΄. Ὁ στερεῶν βροντήν.

Καρτερικῶς τοὺς ἄθλους, καλλιμάρτυς, στησαμένη σήμερον, στεφανηφόρος ἐν οὐρανοῖς ἀπεγράφης μετ᾽ ἀγγέλων, ὑπὲρ ἡμῶν πρεσβεύουσα σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τοῖς ἱεροῖς σου ἄθλοις, ἐγκαυχᾶται ἡ Ἐκκλησία, πανεύφημε, πανηγυρίζουσα μυστικῶς ἐν τῇ νίκῃ τῶν ἀγώνων τῆς ἱερᾶς ἀθλήσεως, δι᾽ ἧς καὶ ἐστεφάνωσαι.

Παρθενικῶν αἱμάτων, τὸ τρυβλίον πληροῦσα ἡ πανεύφημος, τῷ ἀγελάρχῃ καὶ τῷ λαῷ ἀνατίθησι τὸ θαῦμα τῆς παραδόξου ῥεύσεως, τῶν ἱερῶν αἱμάτων αὐτῆς.



Θησαυροφύλαξ ὤφθης, τῶν δογμάτων τῆς ἀληθείας, πάνσεπτε· καὶ μαρτυροῦσιν οἱ ποταμοὶ τῶν παρθενικῶν αἱμάτων, οὓς ἀεννάους βρύουσα, ἀρδεύεις τοὺς τιμῶντάς σε.

Χορὸς Πατέρων σήμερον, Παρθένε, τὸν τόμον σοι προσάγουσι, συναθροισθέντες διὰ Χριστὸν, ὃν λαβοῦσα μέχρι τέλους, ὥσπερ εὐσεβὴς συνήγορος φυλάττεις ἀπαράτρωτον.

Ἡ μυροθήκη βρύει τῶν λειψάνων πληροῦσα τὸ ἀλάβαστρον καὶ ἁγιάζονται οἱ λαοὶ, καὶ ἐλέγχονται αἱ αἱρέσεις, καὶ ὁ Θεὸς δοξάζεται, θεόφρον, ἐν τῇ μνήμῃ σου.

Ἡ καλλιμάρτυς πάντας συγκαλεῖται, πνευματικῶς ἀθροίζουσα σὺν ἱερεῦσι καὶ βασιλεῦσι, πρὸς παράδοξον αἱμάτων παρθενικῶν ἐπίῤῥοιαν. πιστῶς οὖν ἀρυσώμεθα.

Τριαδικόν.

Φῶς τὸν Πατέρα ἄναρχον δοξάζω, φῶς τὸν Υἱὸν συνάναρχον, φῶς καὶ τὸ Πνεῦμα τὸ ἀγαθόν· μίαν ἄναρχον οὐσίαν, ὡς ἐξ ἑνὸς ἀστράπτουσαν ἡλίου ἀμερίστῳ φωτί. Θεοτοκίον.

Τὴν ἐξ Ἀδὰμ τοῦ γένους ἀμορφίαν ἐπεισαχθεῖσαν βρώματι, κυοφορούμενος, Ἰησοῦ, ἐν γαστρὶ τῆς Θεοτόκου, ὑπερφυῶς ἀνέπλασας τὸ πρῶτον κάλλος δοὺς ἡμῖν.

Ὠδὴ δ΄. Εἰσακήκοα τὴν ἀκοήν σου.

Ξένον ἄκουσμα! ἡ ἀσθενὴς τοῦ θήλεος φύσις, ἀνδρικῶς κατὰ τοῦ δράκοντος, ἀῤῥενωθεῖσα ὁπλίζεται.

Τὸ ἀείζωον τῶν σῶν αἱμάτων, ῥεῖθρον ἀντλοῦμεν. Ἡ βασίλειος ὁμήγυρις, μάρτυς, δοξάζει τὸν ἄνθρωπον.

Ὁ θεογράφος τῆς ὀρθοδόξου, πίστεως ὅρος, ὡς πιστῇ σοι νομοφύλακι, μάρτυς Χριστοῦ, ἀνατίθεται.

Ἐπεσφράγισας ὡς ἐν γραφίδι, τῷ θείῳ τόμῳ, τῶν δογμάτων τὴν ἀσφάλειαν, ὑποτυποῦσα τοῖς αἵμασιν.

Τὸ ἀνόθευτον τῆς εὐσεβείας, σύμβολον, μάρτυς, τῷ καλάμῳ τῶν θαυμάτων, σοῖς ἐπεκύρωσας αἵμασιν. Θεοτοκίον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Μῆτερ ἄχραντε, εὐλογημένη ἁγνὴ Παρθένε, τοὺς ὑμνοῦντάς σε περίσωζε, ἀπὸ πάσης περιστάσεως.

Ὠδὴ ε΄. Ὁ ἀνατείλας τὸ φῶς καί.

Τῶν διωκόντων τὸ πῦρ κατασβέσασα, μάρτυς, τῆς πίστεως τῇ δρόσῳ, νοητῶς ἐστόμωσας, τὴν θείαν μάχαιραν τοῦ πνεύματος.

Η τῶν πατέρων πληθὺς τῶν δογμάτων, τὸν ὅρον παρέθετό σοι, μάρτυς, ὡς ἐν θείᾳ λάρνακι, τῆς ἀληθείας καὶ μετὰ θάνατον.

Εἰ καὶ θανοῦσα σιγᾷς, μὴ κινοῦσα τὰ χείλη, ἀλλ' ἔνδοθεν ἡ χάρις τῶν θαυμάτων, κράζει σοι τῇ μυστικῇ τῶν δογμάτων σάλπιγγι.

Θεοτοκίον.

Ρυσθέντες πάντες βροτοὶ διὰ σοῦ, Θεοτόκε, τῆς πλάνης τῶν εἰδώλων, ἀληθῶς ἐγνώκαμεν Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ.

Ὠδὴ ς΄. Ὡς Ἰωνᾶν τὸν προφήτην.

Βασιλικὴν ἁλουργίδα, ἐξ αἱμάτων βαφεῖσαν τῶν θαυμάτων σου, ἐξύφανας τῇ Ἐκκλησίᾳ, ἐνστίξασα τοὺς λόγους τῶν μαρτυρίων Χριστοῦ.

Νεανικὴν παῤῥησίαν, ἡ θεόνυμφος μάρτυς ὡπλίσατο, καὶ πάλην στεῤῥὰν ὑπελθοῦσα, τὰ τρόπαια τῆς νίκης νῦν ἀνεστήσατο.

Η τεθνεῶσα ζῶσα, τῶν δογμάτων τὸν ὅρον κατέχουσα, φυλάττεις ἀνόθευτον, μάρτυς, ὡς φύλακι τοῦ λόγου παρατεθέντα σοι.

Τὴν τῶν θαυμάτων πλημμύραν, ὡς δογμάτων κρατῆρας προέθηκας, προχέουσαν ἄφθονον χάριν, ἀρδεύουσα τὰς φρένας, μάρτυς πανεύφημε.

Σὺ τῶν τυράννων τὰ θράση, καλλιπάρθενε μάρτυς, αἰσχύνασα, τὸ στάδιον ἤνοιξας τοῦτο, τὰ τρόπαια τῆς νίκης νῦν ἀναστήσασα.

Ως κιβωτὸς ἀρωμάτων, ἡ σορὸς τῶν λειψάνων τῆς μάρτυρος, διῆλθεν ἀβρόχοις πορείαις, ὡς ἄλλον Ἰορδάνην τὴν Προποντίδα ποτέ.

Ωσπερ ἀλάβαστρον μύρου, τῶν λειψάνων κενοῦσα τὴν λάρνακα, μυρίζει ἡμῶν τὰς καρδίας, καὶ γλώσσας ἐμπυρίζει αἱρετιζόντων ἐχθρῶν.

Τριαδικόν.



Φῶς τὸν Πατέρα δοξάζω, φῶς ὑμνῶ τὸν Υἱόν, φῶς τὸ πνεῦμα τιμῶ· ἀλλ' ἓν φῶς τὰ τρία πιστεύω. Μονὰς γὰρ ἐν Τριάδι καὶ ἐν μονάδι Τριάς.

Θεοτοκίον.

Τὸ καπνιζόμενον ὄρος, ἐν Σινᾷ προδειχθὲν τῷ θεόπτῃ Μωσῇ, τὴν σὴν προδιετύπου γαστέρα, τὴν ἄφλεκτον Παρθένε, φλόγα χωρήσασαν.

Ὠδὴ ζ΄. Ὁ ἐν τῷ ὄρει.

Μωσῆς τὴν πέτραν, ῥάβδῳ πλήξας, ὢ θαῦμα! τὸ ὕδωρ τῷ διψῶντι λαῷ παρέσχεν· καὶ ἡ θανοῦσα νύττεται, καὶ πηγάζει αἱμάτων κρουνούς.

Ως νομοφύλαξ, τῶν δογμάτων τὸν ὅρον ἡ μάρτυς δεξαμένη, ὡς θείας πλάκας φυλάττει τοῦτον, ἄτρωτον ἐκ πασῶν τῶν αἱρέσεων.

Διπλοῦν τὸν ἕνα, δογματίζων ὁ τόμος, οὐ τέμνει τὰς οὐσίας, οὐ συναλείφει, ἀλλ' ἡνωμένας δείκνυσιν, ὡς βοᾷ ἡ ἀλήθεια.

Θεοτοκίον.

Σὲ Ἡσαΐας, διὰ πνεύματος θείου λαβίδα προεώρα, Παρθενομῆτορ, ἐν ᾗ τὸν θεῖον ἄνθρακα θεομύστως ὑπεδέξω ἁγνή.

Ὠδὴ η΄. Τὸν βασιλέα Χριστόν.

Η τοῦ Κυρίου ἀμνάς, λύκους ἐξέκλινεν, ἐτροπώσατο ὄφεις, τοὺς ἀσεβεῖς διώκτας, καὶ διέφυγεν αὐτούς, ὥσπερ δορκὰς ἐκ παγίδος, καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἐβοηθήθη.

Τὰς θεομβρίας, τῶν σῶν, μάρτυς, ἀνοίξασα, σεβασμίων αἱμάτων, τῶν δυσσεβῶν κατέκλυσας τὰς γλώσσας, ἐν αὐτοῖς σώσασα ὡς ἐν χειμῶνι τὴν ἐμπιστευθεῖσάν σοι πίστιν ὀρθοδοξίας.

Η νομικὴ κιβωτὸς, πλάκας ἐδέξατο καὶ τὴν στάμνον τοῦ μάννα· αὕτη δὲ νέας πλάκας, τὸν τῆς πίστεως ὅρον στάμνῳ χρυσῇ ἐντεθέντα, τῷ παρθενικῷ σου τῆς σαρκὸς θαλάμῳ, μάρτυς.

Θεοτοκίον.

Ο βασιλεὺς τοῦ παντὸς, δούλου ἀνέλαβε τὴν μορφὴν, Θεοτόκε, ἐκ σοῦ, ἵνα δουλείας ἀπαλλάξῃ, τοὺς πιστῶς σε βασιλίδα κινοῦντας καὶ Θεοτόκον.

Ὠδὴ θ΄. Ἐποίησε κράτος ἐν βραχίονι.

Τὸ ἄγραπτον κάλλος, ἀγαπήσασα Χριστοῦ, κατέλιπες τὰ πρόσκαιρα τοῦ βίου, καὶ ἔλαβες τὸν σταυρὸν καὶ προσέδραμες αὐτῷ· διὸ καὶ ἀνέκραζες, σεμνή, σοὶ μόνῳ συσταυροῦμαι, τῷ νυμφίῳ τῷ καλῷ καὶ τερπνῷ ποιμένι.

Τίς εἶδε, τίς ἔγνω μετὰ θάνατον νεκράν, οὐ δόρατι, οὐ ξίφει σφαττομένην, ἐκβλύζουσαν ἐν σορῷ τῶν αἱμάτων τὰς πηγάς; φρικτὸν καὶ παράδοξον, πιστοί, τὸ τῆς ἁγίας θαῦμα, ὅτι σῶμα καὶ ὀστᾶ, ξηρανθέντα βρύει.

Τὸν τόμον ἐκεῖνον, ὥσπερ νόμον εὐσεβῆ παρέθεντο τῇ μάρτυρι τοῦ λόγου, ὡς φύλακι ἀσφαλεῖ, οἱ τοῦ λόγου ὑπουργοί· διὸ ταῖς χερσὶν αὐτῆς στεῤῥῶς ἕως τῆς συντελείας, συγκρατεῖ καὶ συντηρεῖ σιγῶσα.

Τῷ θρόνῳ τῆς δόξης, παρεστῶσα μυστικῶς, μνημόνευε ἀπαύστως, καλλιμάρτυς τῶν ἐκτελούντων πιστῶς τὴν ἁγίαν μνήμην σου· ἐν ᾗ ἁγιάζουσα ἡμᾶς τοῖς τῶν αἱμάτων ῥείθροις, ἀπελαύνεις τῶν παθῶν τὰς ἐπαναστάσεις. Θεοτοκίον.

Ὁ εἷς τῆς Τριάδος, ἐπ' ἐσχάτων δι' ἡμᾶς ἐτέχθη, ἄνευ πάθους ἐκ παρθένου, ὁ ὢν ἀεὶ σὺν Πατρί, ἀμερίστως ἰσουργός, καὶ σώζει ἐκ πάθους καὶ φθορᾶς τοὺς πίστει ἀνυμνοῦντας, καὶ δοξάζοντας αὐτὸν ὡς Θεὸν τῶν ὅλων.

## ΩΔΗ

### ΕΙΣ ΤΟ ΙΕΡΟΝ ΛΕΙΨΑΝΟΝ

*Τῆς Ἁγίας Ἐνδόξου Μεγαλομάρτυρος Εὐφημίας. Παρὰ Η. Τανταλίδου.*

*«Πολλαὶ γυναῖκες ἐποίησαν δύναμιν σὺ δὲ ὑπέρκεισαι καὶ ὑπερῆρας πάσας».*
*Παροιμ. λά. 29.*

Ἐν τῷ μέσῳ τῆς Μεγάλης Ἐκκλησίας προκειμένη
Κ' εἰς διακαῆ τοῖς πᾶσιν ἀσπασμὸν ἠνεῳγμένη,
Ἀγγέλλει σου τὴν μνήμην ἡ σορός σου ἡ τιμία,
Ἔνδοξε μεγαλομάρτυς τοῦ Κυρίου Εὐφημία.



Λύχνων καὶ λαμπάδων αἴγλη, καὶ λιβανωτοῦ ἀτμίδες,
Καὶ ὡς ὑετοῦ σταγόνες μύρων συνεχεῖς ῥανίδες,
Τὸν ναὸν μεταποιοῦσιν εἰς σκηνὴν τοῦ Παραδείσου,
Ἔνθα λάμπει ἡ ψυχή σου·

Εὐφημία, πολιοῦχε τῆς ἐνδόξου Χαλκηδόνος,
Σέμνωμα τῶν ὀρθοδόξων παντὸς τόπου καὶ αἰῶνος,
Ὢ πολύαθλος Παρθένε καὶ ψυχὴ ἀδαμαντίνη,
Περὶ σὲ τῶν Βυζαντίων δίκην μελισσῶν τὰ σμήνη,
Ὡς ἐκ σίμβλων τῶν οἰκείων ἐξερχόμενα δωμάτων,
Περὶ σὲ περιπυκνοῦνται μετὰ βόμβου στεναγμάτων,
Νέοι, γέροντες, γυναῖκες, ἄνδρες, ἡλικία πᾶσα,
Σὲ γεραίρει παραστᾶσα.

Τρυφερά, ὡραία κόρη, εἰς τὸν ῥέοντ' αὐτὸν βίον
Μόνον ἐραστὴν ἐπόθεις τὸν οὐράνιον νυμφίον.
Τῆς ἀγάπης δέ σε τούτου οὐκ ἀπέσπασεν οὐδόλως,
Οὔτε δόρυ, οὔτε δῶρα, οὔτε βία, οὔτε δόλος,
Ἀλλ' ἐν μέσῳ τοῦ σταδίου, ὡσὰν ἄγγελος ὡραία,
Κατεφρόνεις τῶν τυράννων τὰς βασάνους θαρσαλέα,
Καὶ πανεύφημος ἐξῆλθες τοῦ ἀγῶνος, Εὐφημία,
Στεφανῖτις ἐρασμία.

Εἰς θηρῶν ἀγρίων λύσσαν πρὸς βορὰν ἐκγυμνωθεῖσα,
Ἀνεφάνης ἄλλη Εὔα, ὅτε μήπω πλανηθεῖσα,
Ὡς βασίλισσα ἐν μέσῳ τῆς Ἐδὲμ περιεπάτει,
Καὶ ἁπάντων τῶν θηρίων εὐτιθάσσων ἐπεστάτει·
Οὕτω Λέοντες, Παρδάλεις παρὰ σοὶ ἐκυλινδοῦντο,
Καὶ φιλοῦντά σου τὰ ἴχνη, ὥσπερ Εὔαν ηὐλαβοῦντο·
Πλὴν ὁ θάνατος ὀδόντας δανεισθεὶς παρὰ θηρίου,
Σὲ ἀπήλλαξε τοῦ βίου.

Ἦν εὐπρόσδεκτος βεβαίως τῷ Κυρίῳ καὶ τιμία
Ἡ τοσαύτη σου ἀγάπη καὶ τοσαύτη σου θυσία·

Δι' αὐτὸ τὴν μὲν ψυχήν σου ἐκ τοῦ μέσου τῶν ἀγώνων
Κλῖμαξ φαεινῶν ἀγγέλων φέρ' εἰς τοῦ Θεοῦ τὸν θρόνον.
Τὸ δὲ πάνσεπτόν σου σκῆνος ἐν τῇ Ἐκκλησίᾳ μένει,
Θεία παρακαταθήκη εἰς καιροὺς τετηρημένη,
Καὶ τῆς πίστεως τοὺς ὅρους τῷ τῆς ἀκριβείας κράτει,
Ἀῤῥαγεῖς διαφυλάττει.

---

Ποίας μάρτυρος τὸ σκῆνος τόσης δόξης ἠξιώθη,
Ὅση εἰς τὸ λείψανόν σου τὸ προκείμενον ἐδόθη;
Σύνοδος ἑξακοσίων καὶ τριάκοντα Πατέρων
Περιέστεψε τὸ πάλαι, ὡσὰν στέφανος ἀστέρων,
Τὴν πανέντιμόν σου ταύτην λάρνακα ἐν Χαλκηδόνι·
Τὴν ὀρθοδοξίαν τότε ἐκραταίωσας σὺ μόνη,
Ῥίψασα διεῤῥωγότα εἰς τοὺς πόδας σου τὸν τόμον
Τῶν ἀπίστων καὶ ἀνόμων.

---

Στέφανος ἀστέρων νέων σὲ περικυκλοῖ καὶ πάλιν
Εἰς τὴν Ἐκκλησίαν ταύτην τὴν ἁγίαν καὶ μεγάλην,
Σύνοδος, καὶ πατριάρχης καὶ χορεῖαι ἱερέων,
Οἱ διάδοχοι ἐκείνων τῶν πατέρων τῶν ἀρχαίων·
Καὶ τὸ θεῖον λείψανόν σου θείαν χάριν ἀναβλύζει,
Καὶ καταπολεμουμένην τὴν εὐσέβειαν στηρίζει,
Καὶ ἐχέγγυον ὑπάρχει τῆς ἡμῶν ὀρθοδοξίας
Νῦν καὶ μέχρι συντελείας.

---

Ἕνα ἔτι, ἕνα ὅρον ποτὲ ἴσως προσκυρώσεις,
Καὶ τ' ἀπεσπασμένα μέλη αὖθις τῷ Χριστῷ ἑνώσεις·
Καὶ συῤῥάψεις καλλιτέχνως τὸν χιτῶνα τοῦ Κυρίου
Ἐσχισμένον, οἴμοι! πάλαι ὄνυξι τοῖς τοῦ θηρίου.
Χαῖρε, μάρτυς Εὐφημία, χαῖρε, ἅγιον κρανίον.
Θησαυρὲ τῶν ὀρθοδόξων, θησαυρὲ τῶν Βυζαντίων,
Φύλαττε τὴν Ἐκκλησίαν καὶ τὴν πίστιν ἐν γαλήνῃ,
Καὶ τὸν κόσμον ἐν εἰρήνῃ.

**ΤΕΛΟΣ.**

# ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ

ΕΙΣ ΤΗΝ ΙϚΤ΄.

## ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΘΕΟΦΑΝΟΥΣ

Ἑσπέρας ἐν τῷ μεγάλῳ Ἑσπερινῷ. Ἦχος ά.

Πανεύφημοι μάρτυρες.

Πατέρα τὸν Ἄναρχον πιστῶς, σὺν Υἱῷ καὶ Πνεύματι, τὴν ἑνιαίαν Θεότητα, τρόμῳ δοξάσωμεν, ἐκ μὴ ὄντων πάντα εἰς τὸ εἶναι νεύματι, σαφῶς παραγαγόντα, κραυγάζοντες, Θεὲ ἀθάνατε, ἱκεσίαις τῆς Ὁσίας σου, τὸν λαόν σου, οἴκτειρον ὡς εὔσπλαγχνος.

Υἱὸν γεννηθέντα ἐκ πατρός, Πνεῦμα τε τὸ ἅγιον ἐκπορευόμενον, ἅπαντες δοξολογήσωμεν, προσκυνοῦντες πίστει ὡς Θεὸν παντάνακτα· λιταῖς τῆς σῆς Ὁσίας, οἰκτείρησον τοὺς σοὶ λατρεύοντας, σαρκωθεὶς ὁ ὑπερούσιος, ὑπὲρ πάντων γηγενῶν, ἀθάνατε.

Τὸ Πνεῦμα τὸ ἅγιον σεπτῶς, πάντες προσκυνήσωμεν τὸ ἐκ Πατρὸς ἐκπορευόμενον, ὡς ὁμοούσιον, καὶ Υἱῷ ἀῤῥήτως, ἐπαναπαυόμενον, βοῶντες, τὸν λαόν σου ἐλέησον, θείαις δεήσεσι, τῆς ὁσίας σου ὑπέρθεε, ἧς τὴν μνήμην, πιστῶς ἑορτάζομεν.

Τερπνὰ τὰ τοῦ βίου νουνεχῶς, σκῆπτρα βασιλείας τε, τῆς ἐπιγείου ὡς ἄθυρμα, ἡγήσω πάνσεμνε· τὸν Θεὸν τῶν ὅλων εὐσεβῶς, ποθήσασα, ἀκτῖσιν ἐναρέτων σου πράξεων, τούτου τετύχηκας, ὃν δυσώπει ῥῦσαι ἅπαντας τῶν κινδύνων, καὶ πάσης κολάσεως.

Δόξα· ἦχος πλ. ά.

Δεῦτε τῶν πιστῶν τὸ σύστημα, δεῦτε εὐσεβῶν ἡ ὁμήγυρις, δεῦτε εὐφημήσωμεν πόθῳ, Θεοφανὼ τὴν πανσέβαστον. Αὕτη γὰρ σοφῶς τὰ σκῆπτρα, καὶ εὔκλειαν πρόσκαιρον, ἀντ' οὐδενὸς ἡγησαμένη, τὰ οὐράνια ἐπόθησε, ἔρωτι σεβασμίῳ τοῦ βασιλέως Χριστοῦ· καὶ ἐν κόσμῳ βιοῦσα, τοὺς ἐν ἐρήμοις, ὑπερήλασεν, ἀσκη-



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τικῶς βιοῦντας, ταῖς ἀκτῖσι τῶν ἐναρέτων αὐτῆς πράξεων· καὶ νῦν ἐν οὐρανῷ, τὸν παντάνακτα ἱκετεύει, ὑπὲρ τῶν ἐκτελούντων, τὴν ἱερὰν αὐτῆς πανήγυριν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, τῆς Ἀπειρογάμου νύμφης εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος· τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχος Ἰσραήλ, νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος. Ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος· ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος. Ὁ ὤν, καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

Ἡ Εἴσοδος, Προκείμενον τῆς ἡμέρας,

καὶ τὰ ἀναγνώσματα. Ζήτει ὄπισθεν σελ. 3.

Εἰς τὴν Λιτήν. ἦχος δ'.

Πάντα τὰ ἐν τῷ βίῳ τερπνά, εὔκλειαν, καὶ ὄλβον, ὡς οὐδὲν ἡγησαμένη, καὶ τὸν σταυρὸν τοῦ Κυρίου ἐπ' ὤμων ἀραμένη, εὐαγγελικῶς αὐτῷ ἠκολούθησας, καὶ νῦν ἐν οὐρανῷ, τῆς θείας αὐτοῦ ἐμφορουμένη δόξης πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁσία θεοφώτιστε, βλαστὸς ἀγαθός, τῆς βασιλευούσης τῶν πόλεων, καρπὸς εὐθαλὴς τῆς ὑπερκοσμίου βασιλείας, Θεοφανὼ ἀεισέβαστε, πάσης ἡμᾶς ἀπάλλαξον δυσπραγίας, τῶν αἰωνίων ἀξιοῦσα ἀγαθῶν, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Ἦχος β'.

Σὲ τὴν παναοίδιμον, ὁσίαν τὴν ὑπερθαύμαστον, Θεοφανὼ τὴν μακαρίαν εὐφημοῦντες κραυγάζομεν, παντὸς κινδύνου ἡμᾶς ἀπάλλαξον, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Ὁ αὐτός.

Πᾶσα πόλις καὶ χώρα, τιμᾷ τὰ πάνσεπτά σου λείψανα, Θεοφανὼ πανέντιμε, ἐν τῇ μεγάλῃ τοῦ Χριστοῦ κείμενα ἐκκλησίᾳ,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ



καὶ χάριν ἰαμάτων, ἅπαντες ἀντιλαμβάνοντες, ὑμνοῦσι τὸν Σωτῆρα τὸν τὴν ἱεράν σου καταλάμψαντα ψυχήν, τὰς θείας αὐτοῦ, ἐκτελέσαι ἐντολάς, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, ὃν ὑπὲρ ἡμῶν καθικέτευε.

Δόξα· ἦχος δ'.

Τὸ κατ' εἰκόνα, ἀλώβητον τηρήσασα, τὰς τοῦ παλαμναίου προσβολὰς ῥωμαλέως καθελοῦσα, καὶ ἐν τοῖς βασιλείοις διανύουσα τὸν βίον ὡς ἐν ἐρήμῳ διῆγες ἀσκητικῶς, τὸ πολίτευμα ἐν οὐρανοῖς κεκτημένη· διὸ ὃν ἐπόθεις ἐνθέως τυχοῦσα, Χριστῷ συμβασιλεύεις, Θεοφανὼ ἀξιάγαστε. Αὐτὸν ἱκέτευε σωθῆναι, τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζομεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον. Ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Ὅτε βασιλέων τῶν ἐν γῇ, ὄλβος, εὐφροσύνη, καὶ τύφος ἐν πᾶσιν ἴσχυε, τότε σὺ θαυμάσιε, ὥσπερ ἀθύρματα τὰ τοιαῦτα ἐνόμιζες, καὶ ἐν βασιλείοις, βίον ὁσιώτατον σαφῶς διήνυες· ὅθεν ὁ Χριστός σε δοξάσας, ἄφθορον ἐτήρησεν ὄντως, τὸ σεπτόν σου σκῆνος ἀεισέβαστε.

Ὑπομένων, ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι.

Δεῦτε ὀρθοδόξων ὁ ἑσμός, ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ, λαμπρῶς ἀθροίσθητε, πόθῳ ἑορτάζοντες, τὴν θείαν κοίμησιν, τῆς ὁσίας κραυγάζοντες· ἱκέτευε μῆτερ, Κύριον τὸν ὕψιστον, ῥῦσαι κολάσεως πάντας, τοὺς πιστῶς σε τιμῶντας, καὶ πανηγυρίζοντας πόθῳ τὴν σεπτὴν καὶ θείαν σου πανήγυριν.

Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήματά μου.

Ἅπαντες συνδράμετε φαιδρῶς, πόθῳ ἐκτελοῦντες τὴν μνήμην καὶ τὴν λαμπρὰν ἑορτήν, βασιλίδος ᾄσμασι Θεοφανοῦς τῆς σεπτῆς, τῷ Θεῷ γὰρ δουλεύουσα τὰ τῆς βασιλείας, στέμματα ὑ-

πέταξε τῷ τοῦ παντὸς βασιλεῖ· ὅθεν συνελθόντες ἐν πίστει, πόθῳ ἀσπαζόμεθα ταύτης, τὴν σορὸν λειψάνων τὴν πανίερον.

Δόξα· ἦχος ά.

Ἀξίως ὦ θεοτίμητε, πᾶσα πνοὴ τιμᾷ σου, τὴν ἱερὰν τῶν λειψάνων θήκην ἰαμάτων πηγάς, τοῖς πιστῶς αὐτὴν προσιοῦσι βλύζουσαν. Ὁ γὰρ πλουσιόδωρος Θεός, κατ' ἀξίαν νέμει, τοῖς ἑαυτοῦ θεράπουσι, τὰ δωρήματα· παρ' αὐτοῦ οὖν ἐνθέως πλουτισθεῖσα, παράσχου ἡμῖν, τὰ πρὸς σωτηρίαν αἰτήματα, ταῖς πρὸς αὐτὸν ἱκεσίαις σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἰδοὺ πεπλήρωται ἡ τοῦ Ἡσαΐου πρόῤῥησις. Παρθένος γὰρ ἐγέννησας, καὶ μετὰ τόκον ὡς πρὸ τόκου διέμεινας. Θεὸς γὰρ ἦν ὁ τεχθείς, διὸ καὶ φύσεις ἐκενοτόμησεν. Ἀλλ' ὦ Θεομῆτορ, ἱκεσίαις σῶν δούλων σῷ τεμένει προσφερομένας σοι μὴ παρίδῃς· ἀλλ' ὡς τὸν εὔσπλαγχνον σαῖς ἀγκάλαις φέρουσα, σοῖς ἱκέταις σπλαγχνίσθητι, καὶ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον· ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Προελομένη τὰ οὐράνια πόθῳ, Θεοφανὼ τὴν βιοτὴν διεξῆλθες, ἀγγελικῶς ἐν γῇ περιπολεύουσα, ὅθεν κατηξίωσαι οὐρανίων χαρίτων, σὺν ἀγγέλων τάξεσι, καὶ ἁγίων χορείαις, παρισταμένη τῷ παμβασιλεῖ, ὃν ἐκδυσώπει, εὑρεῖν ἡμᾶς ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ ἀγγέλοις ἄγνωστον Μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ.

Μετὰ τὴν Πρώτην Στιχολογίαν Καθίσματα.

Ἦχος ά. Τὸν τάφον σου Σωτήρ.

Ἡ πόλις ἡ λαμπρά, Κωνσταντίνου εὐφραίνου, ὁσίων γυναικῶν τὰς σοροὺς τῶν λειψάνων, πλουτοῦσα πλοῦτον ἄσυλον καὶ θησαύρισμα ἅγιον, καὶ τὴν θήκην δὲ Θεοφανοῦς τῆς ἀνάσσης, ἣν γεραίροντες, δοξολογοῦμεν ἐνθέως Χριστὸν τὸν παντάνακτα.

Θεοτοκίον, Ὅμοιον.

Πανάχραντε Ἁγνή, Θεοτόκε Παρθένε, ἡ μόνη τὸν Θεόν, ἐν γαστρὶ συλλαβοῦσα, καὶ γάλακτι θρέψασα, σαρκωθέντα τὸν Κύριον· ὃν ἱκέτευε, πάντας ἡμᾶς οἰκτειρῆσαι, τοὺς τιμῶντας σε, ὡς Θεοτόκον Κυρίως, Πανύμνητε Δέσποινα.

Μετὰ τὴν Δευτέραν Στιχολογίαν, ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Καταπλήττει πάντα νοῦν, ἡ πολιτεία σου, σεμνή, ὅτι οὖσα βασιλίς, ἐν ἀνακτόροις ὑψηλοῖς, ἀσκητικῶς, μακαρία ἐπολιτεύσω, ἐκρίψασα ὡς χοῦν, τὰς τοῦ ἐχθροῦ μηχανάς, τελέσασα λαμπρῶς τὰς τοῦ Θεοῦ ἐντολάς· διὸ πιστῶς τιμῶμέν σε ὁσία Θεοφανὼ πανοίδιμε, Χριστὸν δυσώπει, ὑπὲρ τῶν πίστει ἐκτελούντων τὴν μνήμην σου.

Θεοτοκίον, Ὅμοιον.

Τῶν Ἀγγέλων χαρμονή, τῶν Ἀσωμάτων καλλονή, σωτηρία τῶν βροτῶν, ἡ φωταυγία τῶν πιστῶν μόνη πέφυκας Θεοτόκε. Ὅθεν σὲ πιστῶς μακαρίζομεν, τιμῶντές σε, Ἁγνή, ὡς θεόπαιδα· παντὸς κινδύνου ῥῦσαι τοὺς οἰκέτας σου εὐλογημένη Θεόνυμφε, καταξιοῦσα τῆς οὐρανίου καὶ αἰωνίου λαμπρότητος.

Μετὰ τὸν Πολυέλεον, ἦχος γ'.

Τὴν ὡραιότητα τῆς παρθενίας σου.

Τὸν ὡραιότατον Χριστὸν ἐπόθησας, οὗ χάριν ἅπαντα, φθαρτὰ

κατέλιπες, καὶ βασιλείαν τὴν ἐν γῇ, ὡς σκύβαλα ἐλογίσω· ὅθεν ὁ ὑπέρθεος, ἀγαθὸς πλουσιόδωρος, λίαν σε ἐδόξασε, πανοσία Θεόπνευστε. Διό σε εὐσεβῶς ἀνυμνοῦμεν, Θεοφανὼ ἀειμακάριστε.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

**Τ**ῆς παρθενίας σου, κάλλος τὸ ἄῤῥητον, καὶ τῆς ἁγνείας σου φῶς τὸ ὑπέρλαμπρον, ὁ πλαστουργὸς, ὡς προειδὼς, πανύμνητε Παναγία, μονὴν ᾑρετίσατο, τῆς αὐτοῦ κατοικήσεως, σὲ τὴν ἀειπάρθενον καὶ Θεοτόκον ἀνέδειξε. Διό σε προσκυνοῦμεν, Κυρία, αὐτῷ λατρεύοντες, Θεόνυμφε.

Εἶτα οἱ ἀναβαθμοὶ, τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἤχου.

Προκείμενον, ἦχος β'.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι.

Στχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Τὸ, Πᾶσα πνοή. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον.

**Τ**ῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολὺς, καὶ συνέθλιβον αὐτόν. Ζήτει ὄπισθεν σελ. 9

Εἶτα τὸ, Ἐλέησόν με ὁ Θεός.

Πλ. ά. Δεῦτε τῶν πιστῶν τὸ σύστημα, δεῦτε.

Ζήτει ὄπισθεν σελ. 37.

Ο ΚΑΝΩΝ ΤΗΣ ΘΕΟΤΟΚΟΥ. (Οἷον βούλει εἰς τὸν αὐτὸν ἦχον).

Ο ΚΑΝΩΝ ΤΗΣ ΑΓΙΑΣ

Οὗ ἡ ἀκροστιχίς. Πόθῳ ἄγει νῦν σοὶ Ἰωάννης τόδε,

Ὠδὴ ά. Ἦχος ά.

Χριστὸς γεννᾶται.

**Π**ιστῶς τιμῶμεν ἐν ᾄσμασιν, ὁσία σε πιστῶν ὡς ἀντίληψιν πόθῳ ἐκτελοῦντες ἄριστα τὴν κοίμησίν σου μῆτερ θεοπρεπῶς, κράζοντες ἁγία, ταῖς λιταῖς σου πρὸς Θεὸν, ἡμᾶς οἰκτείρησον.

**Ὁ** πάντων πλάστης καὶ Κύριος, τὸ κάλλος τῆς ψυχῆς σου θεώ-



μενος, λίαν σὲ λαμπρῶς ἀνύψωσεν, εἰς δόξαν οὐρανίαν, καὶ ἀληθῆ, πάνσεμνε ὁσία, διὸ πάντες εὐσεβῶς σὲ μακαρίζομεν.

Δόξα.

**Θ**ελήσει ἔμφρονι πάνσεμνε, κατέπτυσας βασίλεια πρόσκαιρα, ὦ Θεοφανὼ θαυμάσιε, προείλου τὰ οὐράνια συνετῶς, ὧν ἀξιωθεῖσα τὸν Χριστὸν, ὑπὲρ ἡμῶν εἴης πρεσβεύουσα.

Καὶ νῦν. Θεοτοκίον

**Ὡ**ς μόνη ἄγαν ὑπέρφωτος, Θεοῦ ἐκ δεξιῶν μόνη ἔστηκας, ὥσπερ ὁ Δαβὶδ προείρηκε, πανύμνητε Παρθένε, ὑπερφυῶς· ὅθεν σε ὑμνοῦμεν, Παναγία, ἀγαθὴ, Θεοχαρίτωτε.

Ὠδὴ γ'. Τῷ πρὸ τῶν αἰώνων·

**Ἄ**γει σοι, ὁσία, ὑμνῳδίας ᾠδάς τε καὶ ᾄσματα, πιστῶν χορεία, θεοφρόνως προσκυνοῦσα τὸν κτίστην, ὡς μόνον Θεὸν παντάνακτα, σὲ ἀνυψώσαντα, γῆθεν πρὸς οὐρανὸν, εἰς ἀΐδιον ἀπόλαυσιν.

**Ἄ**γγελοι τιμῶσι, τοὺς σεπτούς σου ἀγῶνας, πανόλβιε, ἐκδυσωποῦντες τὸν Σωτῆρα, ὡς Θεὸν τῶν ἁπάντων, λαμπρῶς σε, ἁγνὴ, δοξάσαντα· διὸ τελοῦντες τὴν σὴν ἑορτὴν, τὸν Χριστὸν δοξάζομεν.

Δόξα.

**Γ**ένος τῶν ἀνθρώπων, εὐφημεῖ τοὺς ἀγῶνάς σου, πάνσεμνε, ὅτι καθεῖλες τὸν βελίαρ, ἐν τῷ κόσμῳ τελοῦσα, σεπτὴ πανοσία ἔνδοξε, ὑπὲρ ἡμῶν τὸν Χριστὸν ἐκτενῶς, μῆτερ καθικέτευε.

Καὶ νῦν. Θεοτοκίον.

**Ἔ**χεις Παναγία, κυριότητα πάντων ὡς πέλουσα, μήτηρ τοῦ πάντων βασιλέως, ὃν δυσώπει ἀπαύστως, σῶσαι πάντας τοὺς ὑμνοῦντάς σε καὶ ἀπαλλάξαι φθορᾶς καὶ παθῶν καὶ γεέννης ἅπαντας.

Κάθισμα, ἦχος ά. Χορὸς Ἀγγελικός.

**Τ**ιμῶμεν τὴν σεπτὴν, καὶ ἁγίαν σου μνήμην, σοφὴ Θεοφανὼ, προλιποῦσα γὰρ πάντα, τὰ πρόσκαιρα τάχιστα, οὐρανίων τετύχηκας· ὅθεν πρέσβευε ὑπὲρ ἡμῶν τῷ Δεσπότῃ, πάντας ῥύσασθαι,

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

τῆς ἐν τῷ Ἄδῃ γεέννης, καὶ πάσης κολάσεως.

Καὶ νῦν. Θεοτοκίον

Πανύμνητε σεμνὴ, ἡ Θεὸν τετοκυῖα, οἰκτείρησον ἡμᾶς τοὺς πι-
στῶς σε ὑμνοῦντας, ὡς μόνην παναχραντον, βασιλίδα ἀθάνατον,
πάντας λύτρωσαι τῶν ἀδοκήτων κινδύνων, καὶ ἀξίωσον, τῆς οὐ-
ρανῶν βασιλείας, πανάχραντε Δέσποινα.

Ὠδὴ δ΄. Ῥάβδος ἐκ τῆς ῥίζης.

Ἵνα σε Ἁγνὴ θεοπρεπῶς ὑμνοῦντες μακαρίζομεν, Θεοφανὼ, ὁσίων
καύχημα, ἱκέτευε τὸν Χριστὸν ἐκτενῶς ἀείμνηστε, ῥύσασθαι τοὺς
πόθῳ σε τιμῶντας, ἐκ πάσης φθοροποιοῦ τῶν ἀντικειμένων σκαι-
ότητος.

Νόες οἱ οὐράνιοι, σεμνὴ, τιμῶσι σε ἀοίδιμε, Θεοφανὼ, ὁσίων
καύχημα, ἱκέτευε τὸν Χριστὸν, σῶσαι τοὺς τιμῶντάς σε, πάν-
των δυσχερῶν, καὶ ἐναντίων, δωρούμενον τοῖς πιστοῖς, ἔλεον
καὶ χάριν οὐράνιον.

Δόξα.

Ὕμνους καὶ ᾠδὰς πρὸς τὸν Θεὸν, ἀνέπεμπες ἀείμνηστε Θεοφα-
νὼ, ἀεὶ δακρύουσα, διὸ εἰς ἄνω μονὰς, ἤρθης καὶ σκηνώματα, Θεὸν
προσκυνοῦσα ἀεννάως, ὃν ἐκδυσώπει ἀπαύστως σεμνὴ, ὑπὲρ τῶν
πιστῶς εὐφημούντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ναὸς καὶ ἀνάκτορον Θεοῦ, γέγονας πανύμνητε, Θεὸν τεκοῦσα
ἀθάνατον, τὸν πάντας ἁμαρτωλοὺς ἐλεοῦντα χάριτι· ὃν ἀεὶ ὑ-
μνοῦντες ὡς Δεσπότην. σὲ ἱκετεύομεν ἁγνὴ, ῥῦσαι τοὺς πιστοὺς
τῆς κολάσεως.

Ὠδὴ έ. Θεὸς ὢν εἰρήνης.

Σὲ πάντες τιμῶμεν, ὁσία σεμνὴ, ὡς Χριστὸν ὁλοψύχως ποθήσα-
σαν, καὶ πάντα καταλείψασαν, τὰ τῆδε νουνεχῶς· ὅθεν τῶν οὐ-
ρανίων ἠξιώθης παστάδων, τῷ Θεῷ καὶ κτίστῃ σου, διὰ παντὸς
συνοῦσα, πάντιμε.



Ὁ πάντων Δεσπότης, Χριστὸς ὁ Θεὸς, οὐρανίων θαλάμων ἠξίωσε,
τιμήσας σε, ἀοίδιμε, ὡς γύναιον σεμνόν· διὸ ἐν τοῖς ὑψίστοις,
αὐτῷ παρισταμένη, ὑπὲρ πάντων, πρέσβευε τῶν εὐφημούντων σε
πανεύφημε.

Δόξα.

Ἱκέτευε μῆτερ Χριστὸν τὸν Θεὸν, οἰκτειρῆσαι, ἡμᾶς ὡς φιλάν-
θρωπον· λίαν γὰρ ἁμαρτάνοντες, οἱ ἄθλιοι ἀεὶ, πτοούμεθα εἰκό-
τως, τὴν ὀργὴν τὴν δικαίαν, ἐξ ἧς πάντας λύτρωσαι, σαῖς ἱκε-
σίαις, ἀείμνηστε.

Καὶ νῦν. Θεοτοκίον.

Ἰδόντες οὖν κόρη, Μαρία σεμνὴ, τὸ ὑπέρτατον ὕψος τῆς δόξης
σου, ὑμνοῦτες προσκυνοῦμέν σε, βοῶντες ἀγαθὴ, ἀπείρῳ σου ἐλέει,
ῥῦσαι ἡμᾶς κινδύνων, τῆς γεέννης, καὶ πάντων τῶν δυσχερῶν
ἁπάσης θλίψεως.

Ὠδη ς΄. Σπλάγχνων Ἰωνᾶν.

Ὦ Θεοφανὼ, ὁσίων τὸ καύχημα, τιμῶμέν σε πίστει παναοίδιμε, πό-
θῳ κράζοντες· τοὺς τιμῶντάς σε νόσων ἀπάλλαξον, ταῖς πρεσβείαις
σου, ὁσίων ἐγκαλλώπισμα, ἵνα εὐσεβῶς ἐν ᾄσμασι, τὴν σεπτὴν
σου τελῶμεν πανήγυριν.

Ἅπαντες πιστοὶ, πόθῳ ἑορτάζομεν, τὴν μνήμην σεμνὴ τῆς σῆς
κοιμήσεως, εὐφραινόμενοι καὶ ὑμνοῦντες Χριστὸν τὸν ὑπέρθεον·
ἱκεσίαις ἐλεῆμον τῆς ὁσίας σου, πάντας τῶν δεινῶν ἀπάλλαξον,
καὶ κολάσεως ῥῦσαι, ἀθάνατε.

Δόξα.

Νῦν ἐν οὐρανοῖς ὑπάρχουσα, πάνσεμνε, ὑμνεῖς τὸν Χριστὸν,
τὸν ὑπεράγαθον, ὦ Θεοφανὼ, ὑπὲρ πάντων τῶν πίστει τιμώντων
σε, καθικέτευσον ῥυσθῆναι τῆς κολάσεως, ἵνα ἐκτελῶμεν ᾄσμασι,
τὴν σεπτὴν ἑορτήν σου, ἀοίδιμε.

Καὶ νῦν. Θεοτοκίον.

Νόσων καὶ δεινῶν καὶ πάσης κολάσεως, τὸν κόσμον Ἁγνὴ ῥῦ-
σαι ἐλέει σου, καὶ κυβέρνησον ἐν εἰρήνῃ καλῶς τὴν ζωὴν ἡμῶν,

ἵνα πόθῳ σε καὶ πίστει μακαρίζωμεν, μόνη μήτηρ ἀειπάρθενε, Παναγία πανάμωμε Δέσποινα.

Κοντάκιον, ἦχος δ'. Ἐπεφάνη.

Ἑορτήν σου σήμερον, τὴν λαμπροτάτην, ἐκτελοῦντες κράζομεν, Θεοφανώ, πανευσεβῶς, τοὺς σὲ ὑμνοῦντας διάσωσον, ἀπὸ παντοίων κινδύνων τοὺς δούλους σου.

Ὁ Οἶκος.

Ὁ τῶν ἁπάντων πλαστουργὸς, καὶ βασιλεὺς τῶν ὅλων, τὸ τῆς ψυχῆς εἰλικρινὲς, τῆς σῆς ὦ πανοσία, προγνοὺς πανσόφως, τῶν φθαρτῶν, ὕψωσέ σε ἐνθέως, λαμπρύνας σε τῶν ἀρετῶν ἀκτῖσιν, ὥσπερ δέον· νῦν δὲ ἐν οὐρανοῖς αὐτῷ συμβασιλεύουσαν, ὑμνοῦμέν σε κράζοντες μετὰ πόθου, διάσωσον ἀπὸ παντοίων κινδύνων τοὺς δούλους σου.

Τῷ αὐτῷ Μηνὶ Ιϛ'. Μνήμη τῆς Ἁγίας καὶ θαυματουργοῦ Θεοφανοῦς τῆς βασιλίσσης, συζύγου γενομένης Λέοντος τοῦ σοφωτάτου βασιλέως.

Στιχ. Ἐγγὺς βασιλὶς Θεφανὼ Κυρίου
Ταῖς ἀρεταῖς ἕστηκεν ἐστιλβωμένη.
Ἑτερ. Σκῆνος γεηρὸν, λέπτυνας μακαρία,
Ἀπῆρας ὦκα εἰς μονὰς τῶν ἁγίων.
Φαίδιμον, ὑψ' ἐς ἄνω ἄστυ δράμες, ὦ Θεοφανοῖ.

Αὕτη ὑπῆρχε γέννημα καὶ θρέμμα Κωνσταντινουπόλεως, ἐξ αἵματος βασιλικοῦ τὴν γέννησιν ἔχουσα, ἐκ τῶν περιβλέπτων Μαρτινακίων, θυγάτηρ Κωνσταντίνου, τὴν ἀξίαν Ἰλλουστρίου, καὶ μητρὸς Ἄννης, ἐκ τῶν ἀφ' ἡλίου ἀνατολῶν ὡρμημένων. Οὗτοι καθ' ἑκάστην ἤσχαλλον καὶ ἠθύμουν, παῖδα μὴ ἔχοντες, καὶ τὴν ἁγίαν Θεοτόκον εἰς βοήθειαν ἐπεκαλοῦντο, εἰς τὸν ἐκείνης πανσεβάσμιον ναὸν τὸν ἐν τοῖς Βάσκου διατρίβοντες, καὶ τὰς δεήσεις αὐτῶν ἐκεῖσε ἐκχέοντες· καὶ λυθήτω Δέσποινα, λέγοντες, ἡ



τοῦ κόσμου Κυρία, ἡ ἐκτήκουσα τοὺς δούλους σου ἀπαιδία. Καὶ ἐπεὶ πιστῶς ᾔτουν, ἔλαβον παιδίον θῆλυ. Τοῦτο δὲ ἀπογαλακτισθὲν καὶ περὶ ἑξαετίαν ἐλάσαν, γράμματα ἐκπαιδεύεται καὶ πάσαις καλῶν ἰδέαις ἀρετῶν περιφέρεται. Ταῦτα βλέποντες οἱ γονεῖς, ἔχαιρον καὶ ἐσκίρτων καὶ τῆς εὐπαιδείας οὐκ εἰς μακρὰν ἀπολήψεσθαι τοὺς καρποὺς ᾤοντο. Ἐπεὶ δὲ ὁ χρόνος τῆς ἡλικίας αὐτῆς προέβη, καὶ τοῖς ὁμοίοις, μᾶλλον δὲ τοῖς κρείττοσι προέκοπτε, ζήτησις παρὰ τῶν βασιλέων γέγονε κόρης εὐόπτου καὶ ἐναρέτου· Εἰς ἣν πάντα τὰ κάλλιστα οἱ βασιλεῖς εὑρηκότες, ταύτην συνάπτουσι Λέοντι τῷ υἱῷ αὐτῶν καὶ βασιλεῖ. Καὶ λοιπὸν χαρᾶς καὶ εὐφροσύνης τὰ πάντα ἐπληροῦντο. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ὁ πονηρὸς ζιζάνιον ἐνσπείρας τῇ ἀκοῇ Βασιλείου τοῦ Βασιλέως, διὰ γλώσσης τοῦ Σανταβαρινοῦ Ἀββᾶ, τὸν υἱὸν καὶ βασιλέα Λέοντα ἐγκατάκλειστον ποιεῖται ἅμα τῇ γυναικὶ χρόνοις τρισί. Τῶν ἐγκαινίων δὲ τοῦ ναοῦ Προφήτου Ἠλιοὺ καταλαβόντων, ὁ βασιλεὺς τῷ υἱῷ καταλλάττεται, καὶ μετ' αὐτοῦ τὴν προέλευσιν ποιεῖται· Ἐπεὶ δὲ Αὐτοκράτωρ ἀνηγορεύθη ὁ βασιλεὺς Λέων ὑπὸ τοῦ πατρὸς, διὰ τὸ νοσήματι αὐτὸν περιπεπτωκέναι, τηνικαῦτα ἡ τιμία βασίλισσα Θεοφανὼ εἰς τὰ βασίλεια περινοστοῦσα, τῆς ψυχικῆς σωτηρίας ἐπεμελεῖτο· τὴν δόξαν τῆς βασιλείας ὡς οὐδὲν ἡγουμένη, καὶ τὰ τερπνὰ τοῦ βίου ὡς ἀράχνην καὶ σκιὰν παραβλέπουσα, οὐκ ἔλειψε νυκτὸς καὶ ἡμέρας ψαλμοῖς καὶ ὕμνοις καὶ εὐχαῖς τὸν Θεὸν θεραπεύουσα, καὶ ἐλεημοσύναις αὐτὸν ἐκμειλίσσουσα. Τὰ γὰρ ἄνθη τῆς ἁλουργίδος φοροῦσα, καὶ τὴν ἄλλην εὐπρέπειαν ἔξωθεν περιβεβλημένη, τοῖς ῥάκεσιν ἔνδον τὸ σῶμα κρυπτῶς κατέτρυχε· καὶ ἀσκητικὴν ἀγωγὴν αἱρουμένη, τῶν πολυτελῶν τραπεζῶν κατεφρόνει, καὶ εὐτελεῖ καὶ αὐτοσχεδίῳ τοῦ ἄρτου καὶ τῶν λαχάνων ὡσανεί τινι πολυτελεῖ πανδαισίᾳ ἐτρέφετο· τὰ δὲ ἐν ταῖς χερσὶν αὐτῆς παρεμπίπτοντα χρήματά τε καὶ κτήματα τίμια, τοῖς βιωτικοῖς φαντάσμασι, πένησιν ἐδίδου, καὶ τῶν πε-

ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠ

πλων τὰ πολύτιμα τοῖς δεομένοις παρεῖχε· χήραις καὶ ὀρφανοῖς τὴν αὐτάρκειαν ἐχορήγει, τῶν μοναστῶν τὰ εὐτελῆ καταγώγια χρήμασι καὶ κτήμασι κατεπλούτιζε, τῶν οἰκετῶν καὶ ἀδελφῶν ἐπεμελεῖτο· Οὐ κέκληκέ ποτε τινα ἁπλῷ ὀνόματι, ἀλλὰ πάντων ἐκυρολόγει τὰς κλήσεις. Οὐκ ἐφθέγξατο ὅρκον διὰ τῆς γλώττης, οὐ ψευδὲς ῥῆμα διὰ τῶν ταύτης χειλέων προῆλθεν, ἢ λοιδορία. Οὐκ ἐπαύσατό ποτε κρυπτῶς πενθεῖν καὶ σκυθρωπάζειν, καὶ τὴν στρωμνὴν τοῖς δάκρυσι καταβρέχειν· ἡ κλίνη δὲ αὐτῆς χρυσοϋφάντοις τάπησι κατεστρωμένη τοῖς οἰκείοις ὡρᾶτο· ἡνίκα δὲ ἡ νὺξ κατελάμβανεν, ἐκεῖθεν ἀνισταμένη, ψιαθίῳ καὶ τριχίνοις ῥάκεσιν ἐν τῷ ἐδάφει κειμένοις τὴν ἀνάπαυσιν ἐποιεῖτο, ὥραν ἐξ ὥρας ἀνισταμένη, καὶ τῷ Θεῷ τὰς αἰνέσεις ἀναπέμπουσα· διὸ ἐκ τῆς ἄγαν σκληραγωγίας, ἡ σωματικὴ αὐτὴν περιεστοίχησε νόσος. Αὕτη δὲ εἰς ἐγκρατείας ἀφορμὴν τὴν νόσον λαβοῦσα, οὐ διέλιπε τοῖς πινῶσι διαθρύπτειν τὸν ἄρτον, τὸ δὲ στόμα αὐτῆς, ἐν τῇ μελέτῃ τῶν θείων ὕμνων ἐθισθὲν, οὐκ ἐπαύσατο τὰ ἱερώτατα λόγια τοῦ Δαβὶδ κατεπᾴδειν. οὐ παρεωρᾶτο ἐξ αὐτῆς ἡ ἑπτάκις αἴνεσις τοῦ Κυρίου· οὐδὲ ὕπνωσεν ἀναπαύσεως ὕπνον ἄνευ δακρύων τοῖς τῶν ἀλλοτρίων συμφοραῖς συμπαθοῦσα. Δάκρυσι τὸν Θεὸν ἐκλιπαροῦσα ἦν ὑπὲρ αὐτῶν, καταπονουμένοις χεῖρα βοηθείας ὀρέγουσα, τῶν χηρῶν προϊσταμένη, τῶν ἐν θλίψεσι καὶ ἀθυμίᾳ χειμαζομένων ὑπάρχουσα εὐθυμία καὶ παράκλησις. Πάντα τοιγαροῦν τὸν κόσμον, καὶ τὰ ἐν κόσμῳ διὰ τὸν Χριστὸν ἀπαρνησαμένη, καὶ τὸν χρηστὸν τοῦ Κυρίου ζυγὸν λαβοῦσα, καὶ τὸν Σταυρὸν ἐπ᾽ ὤμων ἀραμένη, τῶν ἐλπιζομένων οὐ διήμαρτεν ἀγαθῶν. Αὕτη αἰσθομένη τὴν ἐκ τοῦ σώματος καὶ τοῦ κόσμου ἐκδημίαν, ἀσπάσασθαι αὐτὴν πάντας προετρέψατο τὸν τελευταῖον ἀσπασμὸν, καὶ οὕτως ἐν εἰρήνῃ τὸ πνεῦμα τῷ Θεῷ παρέθετο. Τὸ δὲ ἅγιον αὐτῆς λείψανον μεγάλως τιμηθὲν παρὰ πάντων, κατετέθη ἐν τῷ ναῷ, ὃν ὁ βασιλεὺς Λέων εἰς τιμὴν αὐτῆς ᾠκοδόμησεν ἐν



Κωνσταντινουπόλει· Νῦν δὲ ἀκέραιον εἰσέτι σώζεται ἐν τῷ Πατριαρχικῷ τῆς μεγάλης τοῦ Χριστοῦ ἐκκλησίας ναῷ, ὡς ἰατρεῖον προκείμενον, ἐξ οὗ ἀμισθὶ τὰς ἰάσεις ἀρύονται πάντες οἱ μετὰ πίστεως καὶ πόθου προσερχόμενοι. Ταῖς τῆς ὁσίας βασιλίδος πρεσβείαις, Χριστὲ παμβασιλεῦ, ῥυσθείημεν τῶν ἐπικειμένων ἡμῖν δεινῶν καὶ τῆς οὐρανίου βασιλείας ἀξιωθείημεν. Ἀμήν.

Ὠδὴ ζ. Οἱ παῖδες εὐσεβείας.

**Η** μνήμη σου τὴν σήμερον εὐφραίνει, εὐσεβῶν ὁμήγυριν ἀειμακάριστε, τιμῶσαν τοὺς σοὺς ἀγῶνας, ἔνδοξε, καὶ Θεῷ χαρμονικῶς ἀνακραυγάζουσαν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

**Σ**ήμερον, ἁγία, σὲ ὑμνοῦμεν, τιμῶντές σου τοὺς ἀγῶνας ἀεισέβαστε, οὓς ἔτλης νεανικῶς, ὁσία πάνσεμνε, εὐλογοῦντες τὸν Θεὸν καὶ ἀναμέλποντες· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Δόξα.

**Τ**οῦ κόσμου τὴν ματαίαν φαντασίαν, καὶ τρυφὴν βασίλειον, καὶ πᾶσαν εὔκλειαν, κατέλιπες ὡς οὐδὲν, πανθαύμαστε, ἀγαπήσασα Χριστὸν, πρὸς ὃν ἐκραύγαζες· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ·

Καὶ νῦν.

**Δ**εήσεων σῶν δούλων, Θεοτόκε, εὐμενῶς ἐπάκουσον, τῶν ἀνυμνούντων σε, πάντας τῶν δεινῶν νῦν ἀπαλλάτουσα, ἐκβοῶντας μετὰ πόθου, πρὸς τὸν Κύριον· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ, ή. Θαύματος ὑπερφυοῦς.

**Ε**δειξας Θεοφανὼ ἁγιωτάτη, ὅτι ῥάδιον πέλει τῷ ὄντι, ἀρετὴν ἐργάσασθαι, καὶ ἐν κόσμῳ ὡς ἀληθῶς, ὥσπερ σὺ ἐτέλεσας λαμπρότατα· διό σε τιμῶντες, ἀνακράζομεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας·

**Ε**σω τῶν τῆς βασιλείας ἀνακτόρων, βασιλὶς φρουρουμένη ἁγία, βίον μέντοι ἄριστα τὸν ἐν πόνοις, σὺ θαυμασίως κατώρθωσας, ὡς ἄϋλος βιοῦσα, σεμνή· διὸ καὶ πρὸς Κύριον ἀνέκραζες· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας·

Δόξα.

Θαύματος ὑπερφυοῦς ὑπάρχει ὄντως, ἡ σεπτὴ πολιτεία σου, μῆτερ· κόσμῳ γὰρ ἐτέλεσας βίον λίαν, ἀγγελικὸν, καταισχύνασα βελίαρ τὸ ὑπέρογκον· διό σε πιστῶς ἀεὶ δοξάζομεν, ἐκτελοῦντες τὴν μνήμην σου ᾄσμασι, καὶ ὑπερυψοῦντες Χριστὸν εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Θεοτοκίον.

Ἄνασσα τῶν οὐρανῶν παντός τε κόσμου, σὺ ὑπάρχεις Παρθένε Μαρία· ὑπὲρ νοῦν γὰρ ἔτεκες καὶ ἀληθῆς Θεοτόκος ἐχρημάτισας, Θεόνυμφε· διὸ εὐσεβῶς σε μακαρίζομεν, τὸν υἱὸν καὶ Θεόν σου δοξάζοντες, καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τύπον τῆς Ἁγνῆς.

Πόλις ἡ πατρίς σου πάνσεμνε, ἡ βασιλεύουσα αὕτη λίαν σε σέβεται, ἤδη τὴν σορὸν τῶν σῶν λειψάνων θαυμάζουσα, καὶ πιστῶς εὐφημεῖ σε κραυγάζουσα, Θεοφανὼ ὁσία, λιταῖς σου πάντας διατήρησον.

Τύπος ἐναρέτων πράξεων, τῇ σῇ πατρίδι γεγονυῖα ἀπέδειξας, ἅπαντα πιστὸν ἰσχύειν ῥᾷστα ἐργάζεσθαι ἐντολὰς τοῦ Κυρίου βουλόμενον, καὶ ἐν τῷ κόσμῳ ὄντα, ὥσπερ αὐτὴ ἀειμακάριστε.

Δόξα.

Πόθῳ σοι βοῶ ἀοίδιμε Θεοφανὼ, ὁ νῦν συνθείς σοι ἐφύμνια, θείαις σου λιταῖς, ἀμπλακημάτων ἀπάλλαξον. καὶ κολάσεως ῥῦσαί με τάχιστα, ἵνα πιστῶς ὑμνῶ σε, εἰς τοὺς αἰῶνας, ἀξιάγαστε.

Καὶ νῦν. Θεοτοκίον.

Πάντα οὐρανῶν στρατεύματα, δοξολογεῖ σε ὑπερύμνητε Δέσποινα· σὺ γὰρ ἀγαθὴ, πάντας κατηύγασας χάριτι, ὡς τεκοῦσα Θεὸν τὸν παντάνακτα· διό σε ἱκετεύω, κἀμὲ οἰκτείρησον ἐλέει σου.

## ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ.

Γυναῖκες ἀκουτίσθητε.

Πόλις ἡ βασιλεύουσα, ἡ Κωνσταντίνου σκίρτησον, πλουτοῦσα σκήνος τὸ θεῖον, Θεοφανοῦς τῆς ἁγίας· αὐτὴ γὰρ ὥσπερ σκύβαλα, ἡγήσατο τὰ πρόσκαιρα, ποθοῦσα τὰ οὐράνια, ὧν καὶ τυχοῦσα, πρεσβεύει, ὑπὲρ ἡμῶν τῷ Σωτῆρι.



Θεοτοκίον.

Παντάνασσα Θεόνυμφε, εὐλογημένη Δέσποινα, ἡ μήτηρ τοῦ βασιλέως, τὸ ἄνθος τῆς παρθενίας, ἀγγέλων ἡ εὐπρέπεια, οὐρανίων ἀγλάϊσμα, τὸ μέγα καταφύγιον, ὑμνοῦμέν σε, Παναγία, ὡς σωτηρίαν τοῦ κόσμου.

Εἰς τοὺς Αἴνους, ἦχος ά.

Τῶν οὐρανίων ταγμάτων.

Τῶν εὐσεβούντων τὰ στίφη, δεῦτε συνδράμετε, ὑμνοῦντες τὸν Σωτῆρα, τὸν Θεὸν τῶν ἁπάντων, δοξάσαντα, ἐν κόσμῳ τὴν φαεινὴν, θαυμασίαν ἐν ᾄσμασι, Θεοφανὼ τὴν ἁγίαν ὑπὲρ ἡμῶν, πρὸς τὸν Κύριον πρεσβεύουσαν.

Ἡ τοῦ Χριστοῦ ἐκκλησία ἡ μεγαλώνυμος, τῶν Ὀρθοδόξων μήτηρ, δι' αἰώνων πλουτοῦσα, τὸ πάνσεπτόν σου σκῆνος, Θεοφανὼ, ἀνακράζει πρὸς Κύριον. Αὐτῆς πρεσβείαις Παντάναξ, ῥῦσαι ἡμᾶς, τῶν παγίδων τοῦ ἀλάστορος.

Ὁ τὴν ὁσίαν σου κλίσιν εἰδὼς, πανόλβιε, ἣν ἔσχες θεοφρόνως πρὸς Χριστὸν τὸν σωτῆρα, προέτρεψεν εἰκότως τοὺς εὐσεβεῖς, τοῦ συνθεῖναι ἐφύμνια, καὶ ἐκτελεῖν τὴν ἁγίαν σου ἑορτὴν, πανοσία, εὐφημότατα.

Ἐν οὐρανοῖς σὺν ἀγγέλοις ὑμνοῦσα, πάνσεμνε, τὸ ἄῤῥητον καὶ θεῖον, τῆς ἁγίας Τριάδος, ὑπέρτατον τῷ ὄντι, ὑπὲρ ἡμῶν, ἀδιαλείπτως ἱκέτευε, ὅπως ῥυσθῶμεν κινδύνων καὶ δυσχερῶν, καὶ κολάσεως, πανεύφημε.

Δόξα· ἦχος πλ. ά.

Δεῦτε φιλεόρτων τὸ σύστημα, δεῦτε πιστῶν ἡ ὁμήγυρις, δεῦτε εὐφημήσωμεν ὕμνοις, Θεοφανὼ τὴν Θεόφρονα. Αὕτη γὰρ τὰ τοῦ

βίου τερπνὰ, καὶ ἐπιγείου βασιλείας τὸ κράτος, ἀντ᾽ οὐδενὸς παν-σόφως ἡγησαμένη, τὰ ἄνω ἐνθέως προείλετο· καὶ νῦν περὶ τὸν θρόνον τοῦ παντάνακτος σὺν ἀσωμάτοις δοξολογοῦσα, πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν τὰ τυπικὰ, καὶ ἀπὸ τοῦ κανόνος ᾠδὴ γ΄. καὶ ϛ΄.

Ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Ζήτει ὄπισθεν σελ 22

Κοινωνικόν. Εἰς μνημόσυνον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

**ΤΕΛΟΣ**